UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Homeri Ilias

### Homerus

### Lipsiae, 1876

14. Buch

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2532

Visual Library

Αἶαν ἁμαρτοεπές, βουγάιε, ποῖον ἔειπες·
εἰ γὰρ ἐγὼν οὕτω γε Διὸς πάις αἰγιόχοιο
εἴην ἤματα πάντα, τέκοι δέ με πότνια Ἥρη,
τιοίμην δ' ὡς τίετ' Ἀθηναίη καὶ Ἀπόλλων,
ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοισι
πᾶσι μάλ', ἐν δὲ σὺ τοῖσι πεφήσεαι, αἴ κε ταλάσσῃς
μεῖναι ἐμὸν δόρυ μακρόν, ὅ τοι χρόα λειριόεντα
δάψει· ἀτὰρ Τρώων κορέεις κύνας ἠδ' οἰωνοὺς
δημῷ καὶ σάρκεσσι πεσὼν ἐπὶ νηυσὶν Ἀχαιῶν.
ὣς ἄρα φωνήσας ἡγήσατο· τοὶ δ' ἅμ' ἕποντο
ἠχῇ θεσπεσίῃ, ἐπὶ δ' ἴαχε λαὸς ὄπισθεν.
Ἀργεῖοι δ' ἑτέρωθεν ἐπίαχον, οὐδὲ λάθοντο
ἀλκῆς, ἀλλ' ἔμενον Τρώων ἐπιόντας ἀρίστους.
ἠχὴ δ' ἀμφοτέρων ἵκετ' αἰθέρα καὶ Διὸς αὐγάς.

---

# ΙΛΙΑΔΟϹ Ξ.

Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης,
ἀλλ' Ἀσκληπιάδην ἔπεα πτερόεντα προσηύδα·
φράζεο δῖε Μαχᾶον, ὅπως ἔσται τάδε ἔργα·
μείζων δὴ παρὰ νηυσὶ βοὴ θαλερῶν αἰζηῶν.
ἀλλὰ σὺ μὲν νῦν πῖνε καθήμενος αἴθοπα οἶνον,
εἰς ὅ κε θερμὰ λοετρὰ ἐυπλόκαμος Ἑκαμήδη

---

V. L. 824 ἁμαρτοεπὲς C. ποῖον ACDGHS Syr. οἶον EL Barocc. Rom. Et. Mg. 443, 13. ἔειπας CL Rom. — 825 αἲ γὰρ CEH. αἰ A. AI Syr. γε omitt. C Lips. πάϊς ACDE (bis) GHS ΠΑΙϹ Syr. παῖς L. — 826 ἥματα D. τέκε Lips. — 828 ἤδε A. φέροι EL Cant. ἀργείοισι ACD EGH Syr. — 829 τοῖσι: τοῖς γε L (γε 2. man. add.). αἴ κε θελήσῃς Lips. — 830 ὅτι χρόα H. — 831 τρῴων L. κορέεις ACDEHL: κορέσεις G Cant. pro var. lect. Harl. Vrat. A. — 832 ἐπι A. ἐν ἄλλῳ παρανευσιν (sic) A. — 833 ὡς A. — 834 ἐπι ACDL. — 835 οὐδὲ λάθοντο Townl. ceteri οὐδ' ἐλάθοντο . . . . . . ΆΘΟΝΤΟ Syr. — 836 τρῴων L.

---

A. c. 824 Ζηνόδοτος βουγήιε διὰ τοῦ η̄, ὁ δὲ Ἀρίσταρχος διὰ τοῦ ᾱ Didymus, conf. Eust. 962, 14. ἄλλοι δὲ βουκάκιε γράφουσιν Eust. 962, 11.

---

V. L. 2 προσηῦδα D. — 3 μαχάων L. μαχάον Lips. Vrat. A. b. — 4 παρα A. νηυσὶ μάχη Cant. — 5 πῖνε H. — 6 εἰσόκε libri. λουτρὰ E.

θερμήνῃ καὶ λούcῃ ἄπο βρότον αἱματόεντα·
αὐτὰρ ἐγὼν ἐλθὼν τάχα εἴcομαι ἐc περιωπήν.
ὣc εἰπὼν cάκοc εἷλε τετυγμένον υἷοc ἑοῖο,
κείμενον ἐν κλιcίῃ, Θραcυμήδεοc ἱπποδάμοιο,
χαλκῷ παμφαῖνον· ὃ δ' ἔχ' ἀcπίδα πατρὸc ἑοῖο.
εἵλετο δ' ἄλκιμον ἔγχοc, ἀκαχμένον ὀξέι χαλκῷ,
cτῆ δ' ἐκτὸc κλιcίηc, τάχα δ' εἴcιδεν ἔργον ἀεικέc,
τοὺc μὲν ὀρινομένουc, τοὺc δὲ κλονέονταc ὄπιcθε,
Τρῶαc ὑπερθύμουc· ἐρέριπτο δὲ τεῖχοc Ἀχαιῶν.
ὡc δ' ὅτε πορφύρῃ πέλαγοc μέγα κύματι κωφῷ,
ὀccόμενον λιγέων ἀνέμων λαιψηρὰ κέλευθα
αὔτωc, οὐδ' ἄρα τε προκυλίνδεται οὐδ' ἑτέρωcε,
πρίν τινα κεκριμένον καταβήμεναι ἐκ Διὸc οὖρον,
ὣc ὁ γέρων ὥρμαινε δαϊζόμενοc κατὰ θυμὸν
διχθάδι', ἢ μεθ' ὅμιλον ἴοι Δαναῶν ταχυπώλων,
ἦε μετ' Ἀτρείδην Ἀγαμέμνονα, ποιμένα λαῶν.
ὧδε δέ οἱ φρονέοντι δοάccατο κέρδιον εἶναι,
βῆναι ἐπ' Ἀτρείδην. οἳ δ' ἀλλήλουc ἐνάριζον
μαρνάμενοι· λάκε δέ cφι περὶ χροῒ χαλκὸc ἀτειρὴc
νυccομένων ξίφεcίν τε καὶ ἔγχεcιν ἀμφιγύοιcι.
Νέcτορι δὲ ξύμβληντο διοτρεφέεc βαcιλῆεc
πὰρ νηῶν ἀνιόντεc, ὅcοι βεβλήατο χαλκῷ,
Τυδείδηc Ὀδυcεύc τε καὶ Ἀτρείδηc Ἀγαμέμνων.

---

V. ι. 7 θερμήινηι C. λούcηδ' D om. καὶ. ἄπο AEH Rom. ἀπὸ DG. ἀπο CL. — 8 εἰc Vrat. A. — 9 ὡc A. ἑοῖο: ἑῆοc Eust. 964, 20 et 21. Rom. — 11 παμφαίνων D. ὃ δ' D. ὃδ' CGHL. — 14 ὄπιcθε ACH: ceteri ὄπιcθεν. — 15 τρῷαc L. ἐρέρειπτο (ϊ) C. — 16 πορφύρῃ ADEGHL Apoll. Soph. 106, 12. 133, 32. Schol. Λ 269. Et. Gud. 360, 2: πορφύρει CS Lips. Vrat. A. Schol. Pind. Pyth. IV, 373. Et. Mg. 684, 13. — 18 αὔτωc ACDL. ΑΎΤΩϹ Syr. αὔτωc EGH Schol. Λ 269. ἄρα τε: ἄρ τε Schol. Λ 269. οὐδ' ἑτέρωcε ACDGHL Syr. Cant. Mor. Vrat. A. Flor. οὐδετέρωcε E. — 19 κεκρυμμένον L. — 20 ὡc A. ὅρμαινε D. κατα A. — 21 καθ' ὅμιλον G Flor. — 24 οἳ δ' D. οἵδ' CHL. — 25 περι A. — 26 ξίφεcι Lips. Vrat. A. ἀμφιγύοιcι AEHL. — 27 δϊοτροφέεc H. — 28 παρ ACD. βεβλήατο: βεβολήατο Schol. Ι 5. — 29 ὀδυcεύc C. ὀδυccεύc DG.

---

A. c. 16 πορφύρῃ: ἐν τῇ ζηνοδότου πορφύρει διὰ τοῦ ει Didymus. — 18 αὔτωc, conf. H. T. 210 et Γ 220 τ' αὔτωc. Ψ 268 ἔτ' αὔτωc. ξ 151 οὐκ αὔτωc. οὕτωc οὐδ' ἄρα τε διὰ τοῦ τε αἱ ἀριcτάρχου Didymus. — 21 διχθάδι' ἢ Herodianus: alii διχθαδίῃ ἤ.

πολλὸν γάρ ῥ' ἀπάνευθε μάχης εἰρύατο νῆες
θῖν' ἔφ' ἁλὸς πολιῆς· τὰς γὰρ πρώτας πεδίον δὲ
εἴρυσαν, αὐτὰρ τεῖχος ἐπὶ πρυμνῇσιν ἔδειμαν.
οὐδὲ γὰρ οὐδ' εὐρύς περ ἐὼν ἐδυνήσατο πάσας
αἰγιαλὸς νῆας χαδέειν, στείνοντο δὲ λαοί·
τῶ ῥα προκρόσσας ἔρυσαν, καὶ πλῆσαν ἁπάσης
ἠιόνος στόμα μακρόν, ὅσον συνεέργαθον ἄκραι.
τῶ ῥ' οἵ γ' ὀψείοντες ἀυτῆς καὶ πολέμοιο,
ἔγχει ἐρειδόμενοι, κίον ἀθρόοι· ἄχνυτο δέ σφι
θυμὸς ἐνὶ στήθεσσιν. ὃ δὲ ξύμβλητο γεραιός,
Νέστωρ, πτῆξε δὲ θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν.
τὸν καὶ φωνήσας προσέφη κρείων Ἀγαμέμνων·
ὦ Νέστορ Νηληιάδη, μέγα κῦδος Ἀχαιῶν,
τίπτε λιπὼν πόλεμον φθισήνορα δεῦρ' ἀφικάνεις;
δείδω μὴ δή μοι τελέσῃ ἔπος ὄβριμος Ἕκτωρ,
ὥς ποτ' ἐπηπείλησεν ἐνὶ Τρώεσσ' ἀγορεύων,
μὴ πρὶν πὰρ νηῶν προτὶ Ἴλιον ἀπονέεσθαι,
πρὶν πυρὶ νῆας ἐνιπρῆσαι, κτεῖναι δὲ καὶ αὐτούς·
κεῖνος τὼς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται.

---

V. L. 30 γάρ ῥ' ACDEH: γὰρ GL Harl. Lips. Vrat. A. Flor. conf. Ρ 403. ε 321. κ 242. φ 32. ῥ' in caesura semiternaria non opus esse docui Annal. Gymn. Austr. 1871, pg. 506. ἀπάνευθεν E. νῆας L. — 31 θιν" ἐφ' A. θίν' ἐφ' G. ἐφ' CEHL. πεδίον δὲ A. — 32 ἐπι A. libri πρύμνῃσιν. — 35 τῶ ACDHL: τῷ EG Apoll. Soph. 135, 26. Schol. Μ 258. ῥὰ DL. εἴρυσαν L Flor. ἔρυον Schol. Μ 258. Apoll. Soph. 135, 26. Et. Mg. 689. 26. — 36 ξυνεέργαθεν E. ἄκρας D. — 37 τῶ ACL. τῷ EGH Phot. Lex. 324. Suidas II, 2, 238, 15. τώ ρ D. τώ ῥ' Cram. Ep. 95, 25. — 38 ἀθρόοι AE 966, 9. σφι ACDEH Lips.: σφιν GL. — 39 ἐνι A. — 40 πτῆξε: πῆξε C post ras. G Vrat. d. ἐνι A. — 43 φθεισήνορα δεῦρ' ἵκάνεις A et in marg. φθισήνορα δεῦρ' ἀφικάνεις. δεῦρ' ἱκάνεις Flor. Rom. — 44 δείδω: δείδια L. μηδή A. μή μοι τελέσῃ (σ supra) C. τελέσοι Barocc. ὄμβριμος C. — 45 ὅς ποτ' C. ἐπηπείλης' CL. ἐνι A. — 46 παρ AD. προτιΐλιον A. προτὶ libri mei, non ποτὶ. — 47 ἐνὶ πρῆσαι D. ἐμπρῆσαι L. — 48 τὼς AHL Harl. Mor. Lips. θ' ὣς DEGS. θ' ὡς C. ἐν ἄλλῳ κεῖνός γε A (i. e. γ' ὡς), conf. Β 330. τὰ νῦν δὴ Barocc. Mor.

---

A. c. 32 πρυμνῇσιν Crates: πρύμνῃσιν Herodianus. — 36 διχῶς αἱ ἀριστάρχου μακρὸν καὶ πολλόν. Ζηνόδοτος καὶ ἀριστοφάνης πολλόν Didymus. — 37 ὀψείοντες Aristarchus: ὀψαΐοντες Zenodotus (?). οὐ ψαύοντες Ptolemaeus ὁ ἐπιθέτης, conf. Eust. 966, 5. — 38 ἀθρόοι: ἄθρόοι Herodianus cum Aristarcho. — 40 ἀθετεῖται. Aristarchus πτῆξε: πῆξε Dion. Sidonius et Herodianus. — 44 δείδω: ἐν τῇ ἀριστοφάνους δείδια Didymus. — 45 ὥς ποτ': ἀριστοφάνης ὅς ποτε διὰ τοῦ ō Didymus. — 48 τὼς Ptolem. Ascalonita, conf. Β 330.

ὢ πόποι, ἦ ῥα καὶ ἄλλοι ἐυκνήμιδες Ἀχαιοὶ
ἐν θυμῷ βάλλονται ἐμοὶ χόλον, ὥς περ Ἀχιλλεύς,
οὐδ' ἐθέλουσι μάχεσθαι ἐπὶ πρυμνῇσι νέεσσι.
τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
ἦ δὴ ταῦτά γ' ἑτοῖμα τετεύχαται, οὐδέ κεν ἄλλως
Ζεὺς ὑψιβρεμέτης αὐτὸς παρατεκτήναιτο.
τεῖχος μὲν γὰρ δὴ κατερήριπεν, ᾧ ἐπέπιθμεν
ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι·
οἱ δ' ἐπὶ νηυσὶ θοῇσι μάχην ἀλίαστον ἔχουσι
νωλεμές· οὐδ' ἂν ἔτι γνοίης μάλα περ σκοπιάζων,
ὁπποτέρωθεν Ἀχαιοὶ ὀρινόμενοι κλονέονται·
ὣς ἐπιμὶξ κτείνονται, ἀυτὴ δ' οὐρανὸν ἵκει.
ἡμεῖς δὲ φραζώμεθ', ὅπως ἔσται τάδε ἔργα,
εἴ τι νόος ῥέξει· πόλεμον δ' οὐκ ἄμμε κελεύω
δύμεναι· οὐ γάρ πως βεβλημένον ἔστι μάχεσθαι.
τὸν δ' αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
Νέστορ, ἐπεὶ δὴ νηυσὶν ἔπι πρυμνῇσι μάχονται,
τεῖχος δ' οὐκ ἔχραισμε τετυγμένον, οὐδέ τι τάφρος,
ᾗ ἔπι πόλλ' ἔπαθον Δαναοί, ἔλποντο δὲ θυμῷ
ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι,
οὕτω που Διὶ μέλλει ὑπερμενέι φίλον εἶναι
[νωνύμνους ἀπολέσθαι ἀπ' Ἄργεος ἐνθάδ' Ἀχαιούς].
ᾔδεα μὲν γὰρ ὅτε πρόφρων Δαναοῖσιν ἄμυνεν,
οἶδα δὲ νῦν ὅτι τοὺς μὲν ὁμῶς μακάρεσσι θεοῖσι

V. l. 49 ὦ πόποι A. ἤ ρα G. ῥὰ CL. εὐκνήμιδες DHL Lips. — 50 ἀχῖλεύς C. — 51 οὐδὲ θέλουσι Townl. ἐνὶ Mor. libri πρύμνῃσι, conf. 32. νέεσσι ACDEGH. — 53 ἤδη H. ἄλλως: ἄλλω G. — 54 παρατεκτήιναιτο C. — 55 μὲν δὴ κατήριϊπεν C. — 56 εἶλαρ C. Rom. — 57 οἳ δ' D. οἵδ' CGHL. ἔχουσι ACDG. — 58 νωλεμέως H. — 60 ἐπὶ μὶξ D ἥκει L. — 62 ῥέξει: ἄλλοι νόος γ' ἐρξει A. νόος γ' ἔρξει L. πόλεμόν δ' S. ἄμμϊ C. — 63 ἐστὶ ACDEGHL. — 65 ἐπι A. ἐπὶ CDGHL. — 67 ἔπι ACEGL Apoll. Soph. 82, 6. Cram. An. Par. III, 301, 22. ἐπὶ Cram. Ep. 192, 19. ἐπι DH.
ω
πολλὰ πάθον L. ἔλπετο δὲ θυμὸς L. — 68 νηῶν τὲ A. εἶλαρ CH. — 70 omitt. A in textu C 1. man. DL Vrat. b: habent A in marg. C in
ν
marg. man. rec. GS. νωνύμους CH. νωνύμους G. ἀπάργεος A. — 71 μὲν omitt. E. ὅτε ACDEGHL 1. man. S: ὅτι L ex corr. Et. Gud. 236, 26. Cram. An. Ox. II, 375, 10. ἐπάμυνεν D. — 72 ὅτι: ὅτε L. θεοῖσι ACDGH.

A. c. 58 γνοίης: ἀριστοφάνης χωρὶς τοῦ σ̄ γνοίη Didymus. — 60 ἐπιμὶξ Aristarchus ὀξυτόνως. — 67 διήλλατον αἱ Ἀριστάρχου οἷς ἔπι καὶ ᾗ ἔπι Didymus. — 71 οὕτως αἱ Ἀριστάρχου ὅτε διὰ τοῦ ε̄ Didymus.

κυδάνει, ἡμέτερον δὲ μένος καὶ χεῖρας ἔδηϲεν.
ἀλλ' ἄγεθ', ὡϲ ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντεϲ.
νῆεϲ ὅϲαι πρῶται εἰρύαται ἄγχι θαλάϲϲηϲ,
ἕλκωμεν, πάϲαϲ δὲ ἐρύϲϲομεν εἰϲ ἅλα δῖαν,
ὕψι δ' ἐπ' εὐνάων ὁρμίϲϲομεν, εἰϲ ὅ κεν ἔλθῃ
νὺξ ἀβρότη, ἣν καὶ τῇ ἀπόϲχωνται πολέμοιο
Τρῶεϲ· ἔπειτα δέ κεν ἐρυϲαίμεθα νῆαϲ ἁπάϲαϲ.
οὐ γάρ τιϲ νέμεϲιϲ φυγέειν κακὸν οὐδ' ἀνὰ νύκτα.
βέλτερον, ὃϲ φεύγων προφύγῃ κακὸν ἠὲ ἁλώῃ.
τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προϲέφη πολύμητιϲ Ὀδυϲϲεύϲ·
Ἀτρείδη, ποῖόν ϲε ἔποϲ φύγεν ἕρκοϲ ὀδόντων.
οὐλόμεν', αἴθ' ὤφελλεϲ ἀεικελίου ϲτρατοῦ ἄλλου
ϲημαίνειν, μὴ δ' ἄμμιν ἀναϲϲέμεν, οἷϲιν ἄρα Ζεὺϲ
ἐκ νεότητοϲ ἔδωκε καὶ ἐϲ γῆραϲ τολυπεύειν
ἀργαλέουϲ πολέμουϲ, ὄφρα φθιόμεϲθα ἕκαϲτοϲ.
οὕτω δὴ μέμοναϲ Τρώων πόλιν εὐρυάγυιαν
καλλείψειν, ἧϲ εἵνεκ' ὀιζύομεν κακὰ πολλά;
ϲίγα, μή τίϲ τ' ἄλλοϲ Ἀχαιῶν τοῦτον ἀκούϲῃ
μῦθον, ὃν οὔ κεν ἀνήρ γε διὰ ϲτόμα πάμπαν ἄγοιτο,
ὅϲ τιϲ ἐπίϲταιτο ᾗϲι φρεϲὶν ἄρτια βάζειν
ϲκηπτοῦχόϲ τ' εἴη, καί οἱ πειθοίατο λαοὶ
τοϲϲοῖδ', ὅϲϲοιϲιν ϲὺ μετ' Ἀργείοιϲιν ἀνάϲϲειϲ·

---

V. L. 73 κυδαίει (sic) G ex corr. (ν supr.) κῦδαίνει H Vrat. A. ἔδηϲε D. — 74 ἐγὼ ACDEGHLS: ἐγὼν recentiores cum Wolfio et Ernestio. — 75 νῆεϲ: νῆαϲ DEGHLS Eust. 965, 34: νῆεϲ A Schol. Ξ 31. νῆεϲ C (α man. rec. supr.). — 76 πάϲαϲ δ' H. ἐρύϲομεν C Flor. — 77 ὁρμίϲομεν Barocc. Lips. Eust. 968, 34 et 43. Schol. Apoll. Rhod. II, 1282. ὁρμήϲομεν G Flor. Et. Mg. 393, 57. εἰϲ ὅ κεν Et. Mg. 4, 32: libri εἰϲόκεν. ἔλθοι CL. — 78 ἀβροτάτη D. — 79 τρῷεϲ L. — 80 ἀνα A. κακὸν οὐδ' ὑπαλύξαι Max. Tyr. Diss. XLI, 3. — 81 προφύγοι L. ἤ περ ἁλῴῃ ἢ καὶ ἄλλωϲ ἠὲ ἁλῴῃ Eust. 967, 55. ἀλώηι A. ἁλώῃ DG. ἀλώιη C. ἁλῴῃ Eust. 968, 61 Lips. Vrat. A. Flor. — 82 ἆρ A. ἀρ D. — 84 ὄφελεϲ D Lips. Vrat. A. ὤφελεϲ E. ἄλλου ϲτρατοῦ D. — 85 μὴ δ' ACDGHL. μήδ' E. ἄμμιν: ἡμῖν C. — 86 ἔδωκεν H. — 87 φθιόμεθα ἕκαϲτοι Lips. — 88 τρῴων L. — 90 μή τῖϲ τ' C. τιϲ ἄλλοϲ EL edd. vett. μή τιϲ ἔτ' ἄλλοϲ Vrat. A. b. d. — 91 δια AL. ἄροιτο H. (γ supr.) — 92 ἐπίϲταιτο: ἐπίϲταται E (bis) L Cant. Harl. pro var. lect. Townl. Vrat. b. A. Rom. conf. θ 240. ἐπίϲτατο Lips. — 94 τοϲϲοῖδ' AL. τοϲϲοὶ δ' D. τόϲϲοιδ' G. ὅϲϲοιϲι D Lips. μεταργείοιϲιν A.

---

A. c. 74 ἐγὼ conf. H. T. 232. — 89 αἱ Ζηνοδότου ἐκπέρϲειν οὐ καλλείψειν Didymus.

νῦν δέ ϲευ ὠνοϲάμην πάγχυ φρέναϲ, οἷον ἔειπεϲ·
ὃϲ κέλεαι πολέμοιο ϲυνεϲταότοϲ καὶ ἀυτῆϲ
νῆαϲ ἐυϲϲέλμουϲ ἅλα δ' ἑλκέμεν, ὄφρ' ἔτι μᾶλλον
Τρωϲὶ μὲν εὐκτὰ γένηται ἐπικρατέουϲί περ ἔμπηϲ,
ἡμῖν δ' αἰπὺϲ ὄλεθροϲ ἐπιῤῥέπῃ. οὐ γὰρ Ἀχαιοὶ
ϲχήϲουϲιν πόλεμον νηῶν ἅλα δ' ἑλκομενάων,
ἀλλ' ἀποπαπτανέουϲιν, ἐρωήϲουϲι δὲ χάρμηϲ.
ἔνθά κε ϲὴ βουλὴ δηλήϲεται ὄρχαμε λαῶν.
τὸν δ' ἠμείβετ' ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
ὦ Ὀδυϲεῦ, μάλα πώϲ με καθίκεο θυμὸν ἐνιπῇ
ἀργαλέῃ· ἀτὰρ οὐ μὲν ἐγὼν ἀέκονταϲ ἄνωγα
νῆαϲ ἐυϲϲέλμουϲ ἅλα δ' ἑλκέμεν υἷαϲ Ἀχαιῶν.
νῦν δ' εἴη ὃϲ τῆϲδέ γ' ἀμείνονα μῆτιν ἐνίϲποι,
ἢ νέοϲ ἠὲ παλαιόϲ· ἐμοὶ δέ κεν ἀϲμένῳ εἴη.
τοῖϲι δὲ καὶ μετέειπε βοὴν ἀγαθὸϲ Διομήδηϲ·
ἐγγὺϲ ἀνήρ, οὐ δηθὰ ματεύϲομεν, αἴ κ' ἐθέλητε
πείθεϲθαι, καὶ μή τι κότῳ ἀγάϲηϲθε ἕκαϲτοϲ,
οὕνεκα δὴ γενεῆφι νεώτατόϲ εἰμι μεθ' ὑμῖν·
πατρὸϲ δ' ἐξ ἀγαθοῦ καὶ ἐγὼ γένοϲ εὔχομαι εἶναι,
Τυδέοϲ, ὃν Θήβῃϲι χυτὴ κατὰ γαῖα καλύπτει.
Πορθεῖ γὰρ τρεῖϲ παῖδεϲ ἀμύμονεϲ ἐξεγένοντο,

---

V. L. 95 ϲεῦ: ϲε Eust. 969, 11. ὠνοϲϲάμην C. ἔειπαϲ L. — 97 ἑλκέμεν: ἕλκειν Plato Leg. IV, 706 D, conf. H. T. 32. — 98 τρῳϲὶ L. γένοιτο C. ἐπεὶ κρατέουϲι S. ἐελδομένοιϲί περ Plato l. l. — 99 ἐπϊρρέποι C Barocc. ἐπιρρέπει Lips. — 100 ϲχήϲουϲι DE Lips. ϲχήϲουϲιν πολέμου Plato. ἅλα δι' ἑλκομενάων E. — 101 ἀποπτανέουϲιν ACDEG Cant. Harl. Lips. Vrat. b. A. Apoll. Soph. 40, 5. ἀπαπτανέουϲιν H. ἀποπαπτανέουϲιν L cum Hesychio. — 102 ἔνθά κε ACDGHL. ὄρχαμε ἀνδρῶν S. δηλήϲεται οἷ' ἀγορεύειϲ Plato. — 104 πῶϲ ADL. περ Lips. Flor. — 105 ἐγὼν: ἐγὼ C Lips. Ven. B. ἀέκοντά ϲ' L. — 106 εὐϲέλμουϲ D. — 107 ὃϲ: ὅϲτϊϲ C Lips. ὅϲτιϲ δή γ' vel δέ γ' S. ὃϲ τῆϲ δε τ' Cant. ἐνίϲπῃ E Schol. Apoll. Rhod. I, 665. — 108 ἠὲ νέοϲ H. γρ. ἄϲμενοϲ Lips. — 110 αἴ κε θέλητε CDS Townl. — 111 πείθεϲθαι: ἐξείπω Apoll. Soph. 4, 33. κότῳ ἢ χόλῳ Eust. 970, 40. χόλῳ 971, 16. — 112 γενέῃφι CEG Et. Mg. 225, 35. Rhet. Gr. III, 95, 26. Pseudopl. 153, 14. νεώτεροϲ EL Rom. νεώτατοϲ εἰμὶ AD, εἰμὶ etiam L. ὕμιν D. — 113 ἐξαγαθοῦ A. — 114 κατα CDH. καλύπτει AC Harl. Lips. Ven. B Rom. Pausanias IX, 18, 2: κάλυψε DEGHL (ψεν) S Flor. γρ. κάλυψε A.

---

A. c. 95 ἀθετεῖται, καὶ Ἀριϲτοφάνηϲ προηθέτει. asteriscus, ὀρθῶϲ P 173. ϲεῦ: ϲε Zenodotus. — 112 οὕτω νεώτατοϲ ὑπερθετικῶϲ ὡμολόγουν ἅπαϲαι Didymus. — 114 Ζηνόδοτοϲ ἠθέτει, παρὰ Ἀριϲτοφάνει δὲ οὐκ ἦν Didymus. τὸ δὲ κάλυψεν Ἰακῶϲ (cod. ἰωνικῶϲ) Didymus? — 115 Πορθεῖ, conf. Πηλεῖ Ω 61. Ἀχιλλεῖ Ψ 792. Ὀδυϲεῖ ε 398. ν 35.

ᾤκεον δ᾽ ἐν Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι,
Ἄγριος ἠδὲ Μέλας, τρίτατος δ᾽ ἦν ἱππότα Οἰνεύς,
πατρὸς ἐμοῖο πατήρ· ἀρετῇ δ᾽ ἦν ἔξοχος αὐτῶν.
ἀλλ᾽ ὃ μὲν αὐτόθι μεῖνε, πατὴρ δ᾽ ἐμὸς Ἄργεϊ νάσθη
πλαγχθείς· ὣς γάρ που Ζεὺς ἤθελε καὶ θεοὶ ἄλλοι.
Ἀδρήστοιο δ᾽ ἔγημε θυγατρῶν, ναῖε δὲ δῶμα
ἀφνειὸν βιότοιο, ἅλις δέ οἱ ἦσαν ἄρουραι
πυροφόροι, πολλοὶ δὲ φυτῶν ἔσαν ὄρχατοι ἀμφίς,
πολλὰ δέ οἱ πρόβατ᾽ ἔσκε· κέκαστο δὲ πάντας Ἀχαιοὺς
ἐγχείῃ· τὰ δὲ μέλλετ᾽ ἀκουέμεν, εἰ ἐτεόν περ.
τῶ οὐκ ἄν με γένος γε κακὸν καὶ ἀνάλκιδα φάντες
μῦθον ἀτιμήσαιτε πεφασμένον, ὅν κ᾽ εὖ εἴπω.
δεῦτ᾽ ἴομεν πόλεμον δέ, καὶ οὐτάμενοί περ, ἀνάγκη·
ἔνθα δ᾽ ἔπειτ᾽ αὐτοὶ μὲν ἐχώμεθα δηιοτῆτος
ἐκ βελέων, μή πού τις ἐφ᾽ ἕλκεϊ ἕλκος ἄρηται·
ἄλλους δ᾽ ὀτρύνοντες ἐνήσομεν, οἳ τὸ πάρος περ
θυμῷ ἦρα φέροντες ἀφεστᾶσ᾽ οὐδὲ μάχονται.
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἄρα τοῦ μάλα μὲν κλύον ἠδὲ πίθοντο·
βὰν δ᾽ ἴμεν, ἦρχε δ᾽ ἄρα σφιν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
οὐδ᾽ ἀλαὸς σκοπιὴν εἶχε κλυτὸς ἐννοσίγαιος,

---

V. L. 116 ᾤκεον: Cram. An. Ox. III, 260, 16 Ὅμηρος μόνος ἐφυλάξατο δίφθογγον εἰπὼν „οἴκεον ἐν Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι". εἶπε δέ Ἰακῶς οὐκ Ἀττικῶς (ex Herodiano). — 117 ante 116 collocat Strabo X, 463. δ᾽ omitt. Apoll. Soph. 6, 18. — 118 ἐμοῖο ACDE 971, 23 GH Harl. Vrat. d. Bekk. An. 916, 27: ἐμεῖο E 970, 50 L Apoll. Dysc. de Pron. 137 C. de Synt. 164, 7. ἔξοχος ἄλλων H Barocc. Mor. Vrat. d. αὐτῶν: γρ. καὶ αὐτοῦ A. — 119 ὃ μὲν C. μεῖνε: μίμνε Townl. Schol. Ξ 117. ἐν ἄλλῳ μίμνε A. — 122 ἀφνειὸς H Vrat. d. — 123 πῦρροφόροι C. ἔσαν: ἦσαν CDG. — 125 ὡς ἐτεόν περ ACDEGHLS. ὡς ἐτεόν γε Vrat. d. — 126 τῶ AL: τῷ CDGH Schol. Λ 786. γε om. G. — 127 ἀτιμήσητε Flor. ὅν κεν εὖ EG Flor. Rom. — 128 πόλεμον δὲ AD. — 130 μή που τις ACDGHL. — 131 ὀτρυνέοντες G: ceteri ὀτρύνοντες. τοπάρος HL. — 133 ὡς A. οἵδ᾽ GHL. οἱ δέ γε τοῦ C. τοῦ μῦθον κλύον Lips. ἠδὲ πίθοντο EL: ceteri ἠδ᾽ ἐπίθοντο, D ἦδ᾽. — 134 βάν ῥ᾽ D Barocc. Mor. ἄρά σφιν Schol. Z 367. Bekk. An. 1154. ἀρά σφιν G. vulgo ἄρα σφιν. — 135 ἀλαοσσκοπιὴν A. ἀλεοσκοπιὴν G. vulgo ἀλαοσκοπιὴν, ita etiam A in margine. εἶχεν DG. ἀργυρότοξος ἀπόλλων D 1. man. et in marg. man. rec. κρείων ἐνοσίχθων.

---

A. c. 118 ἐμοῖο: οὕτως ἀρίσταρχος. Ζηνόδοτος δὲ ἐμεῖο οὐκ ὀρθῶς Didymus, cf. H. T. 251. — 125 ἀρίσταρχος εἰ ἐτεόν περ. αἱ δὲ δημώδεις ὡς ἐτεόν περ Didymus. — 135 ἀλαὸς σκοπιὴν: ὅτι Ζηνόδοτος γράφει οὐδ᾽ ἀλαὸν σκοπίήν (sic) Aristonicus.

ἀλλὰ μετ᾽ αὐτοὺϲ ἦλθε παλαιῷ φωτὶ ἐοικώϲ,
δεξιτερὴν δ᾽ ἕλε χεῖρ᾽ Ἀγαμέμνονοϲ Ἀτρεΐδαο,
καί μιν φωνήϲαϲ ἔπεα πτερόεντα προϲηύδα·
Ἀτρείδη, νῦν δή που Ἀχιλλῆοϲ ὀλοὸν κῆρ
γηθεῖ ἐνὶ ϲτήθεϲϲι, φόνον καὶ φύζαν Ἀχαιῶν
δερκομένῳ, ἐπεὶ οὔ οἱ ἔνι φρένεϲ οὐδ᾽ ἠβαιαί.
ἀλλ᾽ ὃ μὲν ὣϲ ἀπόλοιτο, θεὸϲ δέ ἑ ϲιφλώϲειε·
ϲοὶ δ᾽ οὔ πω μάλα πάγχυ θεοὶ μάκαρεϲ κοτέουϲιν,
ἀλλ᾽ ἔτι που Τρώων ἡγήτορεϲ ἠδὲ μέδοντεϲ
εὐρὺ κονίϲουϲιν πεδίον, ϲὺ δ᾽ ἐπόψεαι αὐτὸϲ
φεύγονταϲ προτὶ ἄϲτυ νεῶν ἄπο καὶ κλιϲιάων.
ὣϲ εἰπὼν μέγ᾽ ἄυϲεν ἐπεϲϲύμενοϲ πεδίοιο.
ὅϲϲόν τ᾽ ἐννεάχιλοι ἐπίαχον ἢ δεκάχιλοι
ἀνέρεϲ ἐν πολέμῳ ἔριδα ξυνάγοντεϲ ἄρηοϲ,
τόϲϲην ἐκ ϲτήθεϲφιν ὄπα κρείων ἐνοϲίχθων
ἧκεν· Ἀχαιοῖϲιν δὲ μέγα ϲθένοϲ ἔμβαλ᾽ ἑκάϲτῳ
καρδίῃ, ἄλληκτον πολεμίζειν ἠδὲ μάχεϲθαι.
Ἥρη δ᾽ εἰϲεῖδε χρυϲόθρονοϲ ὀφθαλμοῖϲι
ϲτᾶϲ᾽ ἐξ Οὐλύμποιο ἀπὸ ῥίου· αὐτίκα δ᾽ ἔγνω
τὸν μὲν ποιπνύοντα μάχην ἀνὰ κυδιάνειραν,
αὐτοκαϲίγνητον καὶ δαέρα, χαῖρε δὲ θυμῷ·

---

V. l. 136 μετ A. — 137 χεῖρα H Lips. Flor. Rom. χεῖρά C. — 138 προϲηῦδα D. — 139 ἀχιλῆοϲ CD. ἀχιλέωϲ Lips. — 140 ἐνὶ A. — 141 δερκομένῳ ACDHLS Eust. 1073, 57. Schol. Π 516: δερκομένου EG Flor. Rom. οὔ οἱ: οὔ τι Cram. Ep. 363, 13. — 142 ὃ μὲν C. ώϲ AGH. ϲιφλώϲειε ACDGHL. — 144 τρῴων L. — 145 κονίϲϲουϲιν ADEGHL. κονίϲϲουϲι C Lips. κονίϲουϲι Et. Mg. 528, 46. Zonar. Lex. 1246. Cram. An. Par. IV, 75, 31. κονίϲουϲιν solus A. αὐτὸϲ ACD Lips : αὐτοὺϲ EG HLS Lips. suprascr. ἐν ἄλλῳ ϲὺ δ᾽ ἐπόψεαι αὐτούϲ A. — 146 πρὸ τὶ H. ποτὶ Rom. — 147 hunc bis deinceps habet Venetus A. ώϲ A. ἄϋϲϲεν D. — 148 ὅϲϲόν τ᾽ AH. ὅϲϲον τ᾽ CGL Schol. Ε 744. ὅϲον τ᾽ E. ὅϲϲον δ᾽ D. ἐννεάχιλοι A. δεκάχιλοι A. — 150 ϲτήθεϲϲιν Barocc. Mor. — 151 ἀχαιοῖϲϊ C Lips. — 152 κραδίηι CD Lips. ἄληκτον CDE Lips. Townl. Vrat. A. cum aliis. — 153 ὀφθαλμοῖϲι ACGH. — 154 ἀπὸῤῥίου DS. ἀποῤῥίου Townl. Vrat. A. — 155 ἀνα AD.

---

A. c. 136 ὅτι Ζηνόδοτοϲ ὑποτάϲϲει „ἀντιθέῳ Φοίνικι ὀπάονι Πηλείωνοϲ“ Aristonicus. — 142 περιϲϲὸϲ ὁ ϲτίχοϲ καὶ ἡ λέξιϲ νεωτέρων Schol. V. — 148 ὅϲϲόν τ᾽: ἡ ἀριϲτοφάνουϲ διὰ του δε ὅϲϲον δ᾽ ἐννεάχιλοι ἐπίαχον Didymus. ἐννεάχειλοι et δεκάχειλοι Aristarchus, conf. Schol. Ε 860. — 152 ἄληκτον, conf. H. U. 52.

Ζῆνα δ᾽ ἐπ᾽ ἀκροτάτης κορυφῆς πολυπίδακος Ἴδης
ἥμενον εἰσεῖδε, στυγερὸς δέ οἱ ἔπλετο θυμῷ.
μερμήριξε δ᾽ ἔπειτα βοῶπις πότνια Ἥρη,
ὅππως ἐξαπάφοιτο Διὸς νόον αἰγιόχοιο.
ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή,
ἐλθεῖν εἰς Ἴδην εὖ ἐντύνασαν ἓ αὐτήν,
εἴ πως ἱμείραιτο παραδραθέειν φιλότητι
ᾗ χροιῇ, τῷ δ᾽ ὕπνον ἀπήμονά τε λιαρόν τε
χεύῃ ἐπὶ βλεφάροισιν ἰδὲ φρεσὶ πευκαλίμῃσι.
βῆ δ᾽ ἴμεν ἐς θάλαμον, τόν οἱ φίλος υἱὸς ἔτευξεν,
Ἥφαιστος, πυκινὰς δὲ θύρας σταθμοῖσιν ἐπῆρσε
κληῖδι κρυπτῇ, τὴν δ᾽ οὐ θεὸς ἄλλος ἀνῷγεν.
ἔνθ᾽ ἥ γ᾽ εἰσελθοῦσα θύρας ἐπέθηκε φαεινάς.
ἀμβροσίῃ μὲν πρῶτον ἀπὸ χροὸς ἱμερόεντος
λύματα πάντα κάθηρεν, ἀλείψατο δὲ λίπ᾽ ἐλαίῳ,
ἀμβροσίῳ ἑδανῷ, τό ῥά οἱ τεθυωμένον ἦεν·

---

V. l. 157 πολυπιδάκου H. Mor. Vrat. d. hunc et sequentem omitt. Syr. — 160 ὅπως D. ΟΠΩC (π superscr.) Syr. (π 2. man.). — 161 ἧδε A. κατα A. — 162 εὖ, ἐντύνασαν A. ἐντύνασάν ἑ αὐτὴν Apoll. de Pron. 102, C. ἑαυτὴν ACDEGHLS. ἙΑΥΤΗΝ Syr. conf. P 551. ρ 387. θ 396. — 163 εἴ πως libri mei et Cram. Ep. 192, 21. An. Par. III, 301, 24. ᾗ πως Apoll. Soph. 82, 8. ἐν ἄλλῳ ὅπως A (?). ἡμείραιτο G. ἱμείροιτο H. — 165 χεύει L (an χεύει'). χεῦεν S. ἐπι AD. πευκαλίμῃσι ACDG Syr. — 166 βῆ G. ΒΗΡ' ΊΜΕΝ Syr. εἰς C. — 167 ἐπῆρσε ACDGHL Syr. — 168 κληῖδι AD. τὴν δ' ACDE 974, 38 GHL Cant. Harl. Townl. Vrat. A. edd. vett. Schol. Δ 3. Cram. Epim. 27, 31. 52, 5. τὴν οὐ S. ἣν οὐ Eust. 974, 34 et 37. τὸν δ' οὐ Zonar. Lex. 224. Et. Mg. 105, 15. Cram. Ep. 330, 1. τὰ πλείω τῶν ἀντιγράφων τὸν δ' οὐ θεὸς ἄλλος γράφουσιν Eust. 974, 39. ἀνῷγεν: ἀνοῖγεν L. ἄνωγεν Cram. Ep. 27, 31. Et. Mg. 105, 15. ἄνῳγε Cram. Ep. 52, 5. ἀνῷγε 330, 1. — 169 ἧγ' A. θύρας: γρ. καὶ πύλας Schol. V. — 170 πρῶτα S. ἀπο A. χροὸς ἀθανάτοιο Plutarchus Quaest. Conviv. VI, 9, 7, 2. — 171 λύματα: ῥύμματα Schol. Arist. Ach. 17 diserte. κάθηιρεν AC. κάθηραν Et. Gud. 376, 26. κάθηραν Et. Mg. 568, 53. πάντ' ἐκάθηρεν Lips. ἀλείψατο δὲ χρόα λευκόν Athenaeus XV, 688. — 172 ἑδανῷ: ἐδανῷ Apoll. Soph. 62, 21. ἑανῷ Athenaeus l. l. Schol. Ξ 346. τό ῥα οἱ DG. θυόμενον Apoll. Soph. l. l. ἦεν: εἶεν L.

---

A. c. 157 ἀρίσταρχος πολυπίδακος, ἄλλοι δὲ πολυπιδάκου Didymus. H. T. 343. — 162 ἓ αὐτὴν: ὅτι Ζηνόδοτος γράφει ἑωυτήν Aristonicus. — 168 τριχῶς ἡ γραφή ἐστι, τὴν δέ τὴν κλεῖν, τὸν δέ τὸν θάλαμον, τὰς δὲ τὰς θύρας Schol. BLV. ἀνῷγεν: προπερισπαστέον. πρόσκειται δὲ τῷ ω̅ τὸ ι̅ Schol. A. — 169 ὅτι Ζηνόδοτος γράφει θύρας ἐπιθεῖσα φαεινάς Aristonicus.

τοῦ καὶ κινυμένοιο Διὸc κατὰ χαλκοβατὲc δῶ
ἔμπηc ἐc γαῖάν τε καὶ οὐρανὸν ἵκετ' ἀυτμή.
τῷ ῥ' ἥ γε χρόα καλὸν ἀλειψαμένη, ἰδὲ χαίταc
πεξαμένη, χερcὶ πλοκάμουc ἔπλεξε φαεινούc,
καλοὺc ἀμβροcίουc, ἐκ κράατοc ἀθανάτοιο.
ἀμφὶ δ' ἄρ' ἀμβρόcιον ἑανὸν ἕcαθ', ὅν οἱ Ἀθήνη
ἔξυc' ἀcκήcαcα, τίθει δ' ἐνὶ δαίδαλα πολλά·
χρυcείηc δ' ἐνετῇcι κατὰ cτῆθοc περονᾶτο.
ζώcατο δὲ ζώνην ἑκατὸν θυcάνοιc ἀραρυῖαν,
ἐν δ' ἄρα ἕρματα ἧκεν ἐυτρήτοιcι λοβοῖcι,
τρίγληνα μορόεντα· χάριc δ' ἀπελάμπετο πολλή.
κρηδέμνῳ δ' ἐφύπερθε καλύψατο δῖα θεάων
καλῷ νηγατέῳ· λευκὸν δ' ἦν ἠέλιοc ὥc·
ποccὶ δ' ὑπὸ λιπαροῖcιν ἐδήcατο καλὰ πέδιλα.
αὐτὰρ ἐπεὶ δὴ πάντα περὶ χροῒ θήκατο κόcμον,
βῆ ῥ' ἴμεν ἐκ θαλάμοιο, καλεccαμένη δ' Ἀφροδίτην
τῶν ἄλλων ἀπάνευθε θεῶν πρὸc μῦθον ἔειπεν·
ἦ ῥά νύ μοί τι πίθοιο φίλον τέκοc, ὅττί κεν εἴπω,
ἦέ κεν ἀρνήcαιο, κοτεccαμένη τό γε θυμῷ,
οὕνεκ' ἐγὼ Δαναοῖcι, cὺ δὲ Τρώεccιν ἀρήγειc;
τὴν δ' ἠμείβετ' ἔπειτα Διὸc θυγάτηρ Ἀφροδίτη·

---

V. L. 173 τοῦ: οὗ Athenaeus I, 17. κινημένοιο Apoll. Soph. 67, 25. κατὰ L: ποτὶ ACDEGH S Syr. Athenaeus I, 17. IX, 406. XV, 688. Apoll. Soph. 67, 25. — 174 ἐc: εἰc Athenaeus I, 17. Schol. ε 205. — 176 πλεξαμένη Lips. ἔπλεξε: ἔπεξε S. — 178 ἀμφι D. ἀρ' A. ἀρ D. ἄρ EGH. ἑανὸν H. ἔccαθ' HL. — 179 ἐνι AH. ἔνι L. δαίδαλα πάντα DL Barocc. Mor. — 180 ἐν ἐτῆιcι (sic) A. ἐν ἑτῆcι Lips. ἐνετῇcϊν H. ἐνε- ηι τοῖcϊ C. κατα AH. — 182 ζώνην ACDEGHS Syr. Apoll. Soph. 81, 14. Et. Mg. 414, 16: ζώνη L. ἀραρυίη L. ἀραρυῖαν A. — 182 ΕΝΔΈΟΙΕΡΜΑΤΑ Syr. ἕρματα Et. Mg. 375, 46. ἐΰτρήτοιc λωβοῖcιν L. λοβοῖcι ACDEGH Et. Mg. 375, 46. 569. 11. Apoll. Soph. 76, 30. Cram. An. Ox. II, 387, 10. λωβοῖcιν Schol. A 486 ΛΟΒΟΙϹΙΝ Syr. — 185 λευκὸν libri mei cum Schol. α 332. ἐν ἄλλῳ λαμπρὸν δ' ἦν A. ὡc A. — 186 ὕπο A. ὑπαὶ EGL. ἐδήcετο Vrat. d. πέδιλλα L. — 187 libri ἐπειδὴ. περι A. — 188 βῆ δ' ἴμεν H. — 189 προc AH. μετὰ μῦθον Mor. ἔειπε D. — 190 ἤ ῥα νύ μοι τί D. νϋ H. — 191 τόγε: τῶγε L. — 192 τρῴεccιν L.

---

A. c. 173 ἀρίcταρχοc καταχαλκοβατὲc Didymus. — 177 Ζηνόδοτοc καὶ ἀριcτοφάνηc καλοὺc καὶ μεγάλουc Didymus. — 181 ἀρίcταρχοc ζώνηι, ἄλλοι δὲ ζώνην καὶ ἀραρυῖαν Didymus, conf. Ε 857. Ψ 130. Κ 77. c 67. — 183 τρίγληνα μορόεντα Ptolem. Ascalonita cum Aristarcho: alii τρίγλην' ἀμορόεντα.

Ἥρη, πρέϲβα θεά, θύγατερ μεγάλοιο Κρόνοιο,
αὖδα ὅ τι φρονέειϲ· τελέϲαι δέ με θυμὸϲ ἄνωγεν,
εἰ δύναμαι τελέϲαι γε καὶ εἰ τετελεϲμένον ἐϲτί.
τὴν δὲ δολοφρονέουϲα προϲηύδα πότνια Ἥρη·
δὸϲ νῦν μοι φιλότητα καὶ ἵμερον, ᾧ τε ϲὺ πάνταϲ
δαμνᾷ ἀθανάτουϲ ἠδὲ θνητοὺϲ ἀνθρώπουϲ.
εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίηϲ,
Ὠκεανόν τε, θεῶν γένεϲιν, καὶ μητέρα Τηθύν,
οἵ με ϲφοῖϲι δόμοιϲιν ἐὺ τρέφον ἠδ᾽ ἀτίταλλον,
δεξάμενοι Ῥείηϲ, ὅτε τε Κρόνον εὐρύοπα Ζεὺϲ
γαίηϲ νέρθε καθεῖϲε καὶ ἀτρυγέτοιο θαλάϲϲηϲ.
τοὺϲ εἶμ᾽ ὀψομένη, καί ϲφ᾽ ἄκριτα νείκεα λύϲω·
ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται
εὐνῆϲ καὶ φιλότητοϲ, ἐπεὶ χόλοϲ ἔμπεϲε θυμῷ.
εἰ κείνω γ᾽ ἐπέεϲϲι παραιπεπιθοῦϲα φίλον κῆρ
εἰϲ εὐνὴν ἀνέϲαιμι ὁμωθῆναι φιλότητι,
αἰεί κέ ϲφι φίλη τε καὶ αἰδοίη καλεοίμην.
τὴν δ᾽ αὖτε προϲέειπε φιλομμειδὴϲ Ἀφροδίτη·
οὐκ ἔϲτ᾽ οὐδὲ ἔοικε τεὸν ἔποϲ ἀρνήϲαϲθαι·
Ζηνὸϲ γὰρ τοῦ ἀρίϲτου ἐν ἀγκοίνῃϲιν ἰαύειϲ.
ἦ, καὶ ἀπὸ ϲτήθεϲφιν ἐλύϲατο κεϲτὸν ἱμάντα
ποικίλον, ἔνθα τέ οἱ θελκτήρια πάντα τέτυκτο·

---

V. l. 195 αὖδα D. ὅ, τι G. τελέϲϲαι H. ἀνώγει[εν] L. ἐν ἄλλῳ ἀνώγει A. — 196 τελέϲϲαι H. ἐϲτί CDGH Syr. Plutarchus de Adulat. et amico 22. ἐϲτίν AEL. — 197 προϲηῦδα D. — 198 δόϲ μοι νῦν CD Lips. ἐν ἄλλῳ δόϲ μοι νῦν A (?). νῦν δόϲ μοι E. ἥμερον G. — 199 δαμνᾶϲ D. δαμᾶ S. — 201 ὠκεανόνγε H. — 202 οἵ με ϲφοῖϲι ACD Lips. 1. man. Vrat. A. οἵ μ᾽ ἐν ϲφοῖϲι A in marg. EGHLS Syr. ἐΰτρεφον ACDEGL. εὔτρεφον H. ἀτήταλλον H. — 203 ὅτε περ S. — 205 εἶμ᾽: ΙΜ[ε]᾽ Syr. (ε 2. man.). ϲφ᾽: ϲφιν E. — 208 κείνω: κείνων LS Vrat. A. κείνουϲ omisso γ᾽ E. παραὶ πεπιθοῦϲα AH. παραὶ πεπῖθουϲα C. — 209 ἀνἔϲαιμι A. ὠνέϲαιμϊ G. ΟΜΩΟΙΘΗΝΑΙ Syr. ὁμοιωθῆναι Apoll. Soph. 32, 13. φιλότητα Lips. — 211 φιλομειδὴϲ CG Lips. Vrat. A. edd. vett. — 212 γ᾽ ἔποϲ D, γ᾽ man. rec. add. — 214 ἄπο A. — 215 ἔνθα δέ οἱ CDEGH LS. ΕΝΘΑΔΕ Syr. τέτυκται Lips. Schol. Ο 322.

---

A. c. 199 δαμνᾷ: δάμνᾳ Aristarchus apud Schol. V. — 202 οἵ με ϲφοῖϲι: οὕτωϲ ἀρίϲταρχοϲ, ἄλλοι δὲ οἵ μ᾽ ἐν (cod. με) ϲφοῖϲι Didymus, conf. H. T. 126. perperam Schol. V ϲὺν τῇ ἐν αἱ Ἀριϲτάρχου. — 203 Ῥείηϲ: διὰ τοῦ ᾱ ῥείαϲ αἱ ἀριϲτάρχου. οὕτω καὶ ἀριϲτοφάνηϲ Didymus. — 205—207 asterisci; οὐ καλῶϲ 304—306. — 208 κείνω: κείνουϲ Zenodotus et Aristophanes. — 213 ἀθετεῖται. προηθέτει καὶ Ἀριϲτοφάνηϲ. — 215 ἔνθα τέ οἱ G. Hermannus ad Hymn. in Ven. 59. sed conf. ad Ν 21.

ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος, ἐν δ' ὀαριστὺς
πάρφασις, ἥ τ' ἔκλεψε νόον πύκα περ φρονεόντων.
τόν ῥά οἱ ἔμβαλε χερσὶν ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
τῆ νῦν, τοῦτον ἱμάντα τεῷ ἐγκάτθεο κόλπῳ
ποικίλον, ᾧ ἔνι πάντα τετεύχαται· οὐδέ σέ φημι
ἄπρηκτόν γε νέεσθαι, ὅτι φρεσὶ σῇσι μενοινᾷς.
ὣς φάτο, μείδησεν δὲ βοῶπις πότνια Ἥρη,
μειδήσασα δ' ἔπειτα ἑῷ ἐγκάτθετο κόλπῳ.
ἡ μὲν ἔβη πρὸς δῶμα Διὸς θυγάτηρ Ἀφροδίτη,
Ἥρη δ' ἀίξασα λίπεν ῥίον Οὐλύμποιο,
Πιερίην δ' ἐπιβᾶσα καὶ Ἠμαθίην ἐρατεινὴν
σεύατ' ἐφ' ἱπποπόλων Θρῃκῶν ὄρεα νιφόεντα,
ἀκροτάτας κορυφάς· οὐδὲ χθόνα μάρπτε ποδοῖιν·
ἐξ Ἀθόω δ' ἐπὶ πόντον ἐβήσετο κυμαίνοντα,
Λῆμνον δ' εἰσαφίκανε, πόλιν θείοιο Θόαντος.
ἔνθ' Ὕπνῳ ξύμβλητο, κασιγνήτῳ θανάτοιο,
ἔν τ' ἄρα οἱ φῦ χειρὶ ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
ὕπνε, ἄναξ πάντων τε θεῶν πάντων τ' ἀνθρώπων,

---

V. L. 216 om. Lips. ἔνι δ' ἵμερος Boisson. Anecd. IV, 450. ἔ δ'
ων
δαριστὺς S. — 217 φρονέόντος L. φρονέοντα Et. Mg. 546, 53. φρονέοντος Aristot. Eth. Nicom. VII, 7. — 218 ἔβαλε S. ὀνόμαζε ACDEGHL Syr. — 219 τῇ DG Suidas II, 2, 1098, 2. τεῷ δ' G. τεῷ δὲ E. ἐνικάτθεο L. — 220 ἐνὶ D. οὐδέ σε φημὶ ACDEGHL. — 221 γε, νέεσθαι A. γενέσθαι GS Apoll. Soph. 41, 3. φρεσὶν ᾗσι D. — 222 ὡς A. μείδησεν: γήθησε Lips. Harl. conf. Eust. 977, 59 Ἥρα ἐγήθησε. — 223 ἑῷ: μέσωι A. μέσῳ ἢ ἑῷ E. ἐγκάτεθετο (sic) D. ἐνικάτθετο L. — 225 λίπε DE
ϊ
Lips. λεῖπεν C. — 227 σεύατ': ἐν ἄλλῳ ἔσσυτ' ἐφ' ἱπποπόλων A. τινὲς ἱππονόμων Schol. V. γράφεται ἱπποκόμων Lips. νιφόεντα: σκιόεντα LS. — 228 omittit Strabo I, 25. μάρπε HS. — 229 Ἄθωο Eust. 479, 5. ἀθόωι DH (ῳ) Syr. πόντῳ Schol. Γ 122. ἐβήσετο ACHL Lips. Harl. Vrat. b. d. Et. Mg. 347, 9: ἐβήσατο DEGS Syr ἐδύσατο Eust. 479, 5. 1830, 62. — 230 εἰς ἀφίκανε A. θείοιο ἄνακτος D 1. man. L. πόλιν θόαντος ἄνακτος Barocc. — 232 ἄρά οἱ GL. οἳ D. ὀνόμαζε D. — 233 τε omitt. D.

---

A. c. 216 ἐν δ': ἔν τισι τῶν ὑπομνημάτων ἡ δ' ὀαριστύς (Cod. ὁ ἀρυστύς) Didymus. — 219 τῇ: τινὲς δὲ καὶ σὺν τῷ ι γράφουσιν (τῇ), οὐχ ὑγιῶς Apoll. Soph. 152, 3. — 221 γε νέεσθαι Aristarchus: Demetrius γενέεσθαι ἀντὶ τοῦ γενήσεσθαι. — 223 ἀρίσταρχος μέσῳ, ἄλλοι δὲ ἑῷ Didymus. ἑῷ: οὕτως Ἀρίσταρχος. Ζηνόδοτος δὲ μέσῳ Schol. V. — 229 ἐπὶ: ζηνόδοτος καὶ ἀριστοφάνης ἐς πόντον ἐβήσετο καὶ μήποτε ἄμεινον Didymus.

ἤμὲν δή ποτ᾽ ἐμὸν ἔπος ἔκλυες, ἠδ᾽ ἔτι καὶ νῦν
πείθευ· ἐγὼ δέ κέ τοι ἰδέω χάριν ἤματα πάντα.
κοίμηςόν μοι Ζηνὸς ὑπ᾽ ὀφρύςιν ὄςςε φαεινώ,
αὐτίκ᾽ ἐπεί κεν ἐγὼ παραλέξομαι ἐν φιλότητι.
δῶρα δέ τοι δώςω καλὸν θρόνον, ἄφθιτον αἰεί,
χρύςεον· Ἥφαιςτος δέ κ᾽ ἐμὸς πάις ἀμφιγυήεις
τεύξει ἀςκήςας, ὑπὸ δὲ θρῆνυν ποςὶν ἥςει,
τῷ κεν ἐπιςχοίης λιπαροὺς πόδας εἰλαπινάζων.
τὴν δ᾽ ἀπαμειβόμενος προςεφώνεε νήδυμος ὕπνος·
Ἥρη, πρέςβα θεά, θύγατερ μεγάλοιο Κρόνοιο,
ἄλλον μέν κεν ἐγώ γε θεῶν αἰειγενετάων
ῥεῖα κατευνήςαιμι, καὶ ἂν ποταμοῖο ῥέεθρα
Ὠκεανοῦ, ὅς περ γένεςις πάντεςςι τέτυκται·
Ζηνὸς δ᾽ οὐκ ἂν ἐγώ γε Κρονίονος ἆςςον ἱκοίμην,
οὐδὲ κατευνήςαιμ᾽, ὅτε μὴ αὐτός γε κελεύοι.
ἤδη γάρ με καὶ ἄλλο τεὴ ἐπίνυςςεν ἐφετμή,

V. l. 234 ἠμὲν δή ADGH. εἰ μὲν LS Lips. et γρ. καὶ ἤ. ἤ μὲν E Mor. Townl. Vrat. A. b. d. ἦμεν C. conf. Α 453. Π 236. γρ. καὶ εἰ μὲν δή ποτε, ὃ καὶ κρεῖττον Eust. 981, 30. ἐμεῦ ἔπος editores ante Wolfium: ἐμὸν libri mei cum Harl. Cant. Lips. Townl. Vrat. b. d. A. Flor. — 235 πείθεο ES. πεῖθε D. δέ κε τοι A. δὲ καί τοι D. ἰδέω χάριν ACDHS Syr. Ven. B. Harl. Mor. Vrat. A. d. Et. Mg. 806, 56. εἰδέω χάριν EG. χάριν εἰδέω L. ἤματα D. — 236 κοίμηςόν [ï] H. κοίμιςςον L Harl. κοίμιςον C Lips. Vrat. A. — 237 παραπλέξομαι G ex corr. παραλήξωμαι [ξ] φιλότητι E. — 239 ἐμὸς: ἐμοι S. πάϊς ACDEGHLS. — 240 ΤΕΥΧΕΙ Syr. ὕπο H. — 241 ἐπίςχοιες AC. ΕΠΙCΧΟΙΑC Syr. — 243 θυγάτηρ L. — 244 ἔγωγε libri. — 246 post hunc apud Plutarchum de Facie in orbe lunae 24. laudatur versus ἀνδράςιν ἠδὲ θεοῖς, πλείςτην δ᾽ ἐπὶ γαῖαν ἵηςιν, quem Crateti tribuit. — 247 κρονίωνος D. ἐγὼ Κρονίωνος Et. Mg. 540, 29. Cram. Epim. 230, 30. ἆςςον: ἄςςον AD Syr. — 248 ΚΑΤ᾽ ΕΥΝΗCΑΙΜ᾽ Syr. κελεύει [οι] L. κελεύει E Barocc. Lips. αὐτός γε Κρονίων Apoll. Soph. 79, 8. — 249 ἄλλο, τεὴ ACH. ἄλλο τεὴ EG Cram Ep. 412, 24. Pseudopl. 105, 33. ἄλλοτε, ἣ L. ἄλλοτε cὴ Cant. Vrat. b. ἄλλο τεῇ . . . . . . ἐφετμῆι D. ΑΛΛΟΤΕΗ̄Ι . . . . ΕΦΕΤΜΗΙ Syr. ἄλλοτε ῇ . . . . ἐφετμῇ S Mor. Lips. Harl. Cram. Ep. 63, 18. Et. Orionis 26, 32. ἄλλοτε cῇ . . . ἐφετμῇ Vrat. A. ΕΠΕΝΥCCΕΝ Syr.

A. c. 235 ἀρίςταρχος χάριν εἰδέω, αἱ δὲ δημώδεις εἰδέω χάριν Didymus. — 236 Aristarchus cum Aristophane ὑπ᾽: ἐπ᾽ Zenodotus. — 241 οὕτως ἡρωδιανὸς ἐπίςχοιες Schol. A. idem Alexander Cotiaensis ἐν τῷ ι´ τῶν παντοδαπῶν. τινὲς ἐπάγουςιν „αὐτὰρ ἐπὴν δὴ νῶϊ κατευνηθέντε ἴδηαι, ἀγγεῖλαι τάδε πάντα Ποςειδάωνι ἄνακτι“ Schol. V. — 242 προςεφώνεε νήδυμος, non προςεφώνεεν ἥδυμος, Aristarchus. — 249 οὕτω κατ᾽ εὐθεῖαν ἄλλο, τεὴ καὶ ἀρίςταρχος καὶ ἡρωδιανὸς Schol. A. ita etiam Alexio. ἄλλοτε ῇ . . . ἐφετμῇ Parmeniscus. ἄλλο τεῇ . . . ἐφετμῇ Zenodotus et Ptolemaeus ὁ ἐπιθέτης.

ἤματι τῷ, ὅτε κεῖνος ὑπέρθυμος Διὸς υἱὸς
ἔπλεεν Ἰλιόθεν, Τρώων πόλιν ἐξαλαπάξας.
ἤ τοι ἐγὼ μὲν ἔλεξα Διὸς νόον αἰγιόχοιο
νήδυμος ἀμφιχυθείς· cὺ δέ οἱ κακὰ μήcαο θυμῷ,
ὄρcαc' ἀργαλέων ἀνέμων ἐπὶ πόντον ἀήτας,
καί μιν ἔπειτα Κόων δ' εὖ ναιομένην ἀπένεικας,
νόcφι φίλων πάντων. ὃ δ' ἐπεγρόμενος χαλέπαινε,
ῥιπτάζων κατὰ δῶμα θεούς, ἐμὲ δ' ἔξοχα πάντων
ζήτει· καί κέ μ' ἄιστον ἀπ' αἰθέρος ἔμβαλε πόντῳ,
εἰ μὴ νὺξ δμήτειρα θεῶν ἐcάωcε καὶ ἀνδρῶν·
τὴν ἱκόμην φεύγων, ὃ δ' ἐπαύcατο χωόμενός περ.
ἅζετο γὰρ μὴ νυκτὶ θοῇ ἀποθύμια ἔρδοι.
νῦν αὖ τοῦτό μ' ἄνωγας ἀμήχανον ἄλλο τελέccαι.
τὸν δ' αὖτε προcέειπε βοῶπις πότνια Ἥρη·
ὕπνε, τί ἦ δὲ cὺ ταῦτα μετὰ φρεcὶ cῇcι μενοινᾷς;
ἦ φῄς ὣς Τρώεccιν ἀρηξέμεν εὐρύοπα Ζῆν',
ὡς Ἡρακλῆος περιχώcατο, παιδὸς ἑοῖο;
ἀλλ' ἴθ', ἐγὼ δέ κέ τοι χαρίτων μίαν ὁπλοτεράων
δώcω ὀπυιέμεναι καὶ cὴν κεκλῆcθαι ἄκοιτιν.

---

V. l. 250 ἤματι D. ὅτε, κεῖνος A. ὅτε κεῖνος Cant. Mor. Harl. Townl. Vrat. d. ὅτ' ἐκεῖνος CDEGHLS. — 251 ἔμπλεεν H. ἰλιόθι S. τρῴων L. — 252 ἔθελξα διὸς L. — 253 νήδιμος L. — 254 ἐπι AD. — 255 κόονδ' C. conf. Eust. 983, 32 ἕτεροι δὲ Κόον ἔγραψαν ἐν cυcτολῇ. εὖ ναιομένην ACDEGL Et. Mg. 507, 57. Schol. Pind. Nem. IV, 40. Eust. 622, 2. ceteri εὐναιομένην. — 256 ὃ δ' D. ὅδ' CGHL. ἐπεγρόμενος ἢ ἀνεγρόμενος E. χαλέπαινε ACDEGH Syr. χαλέπηνε S. — 257 κατα A. 258 κέ μ': κ' ἔμ' S Cant. ὑπ' αἰθέρος L. — 259 δμήτειρα: δμήτηρα Et. Mg. 609, 13. τὸ δὲ δμήτειρα γράφουcί τινες μήτειρα Eust. 983, 56. conf. Et. Gud. 393, 3. ἐcάωcε — φεύγων (260) omitt. H in textu. — 260 ὃ δ' D. ὅδ' CGHL. ὁ δὲ παύcατο H in marg. — 261 ἅζετο: αἴδετο Eust. 680, 55. ibid. ἔρδοι. ἔρδοι: ῥέξῃ Eust. 984, 37. — 264 τί ἦ A. τιὴ E. ceteri cum Syr. τίη. μετα A. — 265 ἦ GS Schol. Ξ 355. Cram. An. Par. III, 374, 22. ὡς ACGL Syr. Cram. A. P. III, 374, 22. τρῴεccιν L. ἀρηξέμεν ACDHLS Syr. Barocc. Mor. Lips. Harl. Mosc. 2. Vrat. b.: ἀρηγέμεν EG Schol. Ξ 355. Cram. A. P. III, 374, 22. ζῆν' D ex corr. EGLS. ζῆ et 266 ν' ὡς ACD 1. man. H Lips. Vrat. d. Rom. ΖΗΙ et 266 Ν' ΩC Syr. conf. ad Θ 206. Ζῆν Schol. Ξ 355. Ζῆνα Cram. A. P. III, 374, 22. — 266 ἡρακλεῖος Townl. πέρι χώcατο GL. — 267 δὲ καί L. δὲ καί τοι χάρ(τ)ων G. — 268 ΟΠΥΙΕΜΕΝ Syr.

---

A. c. 255 Κόων δ': Κόον δ' Callistratus. — 259 οὕτως ἐν πάcαις δμήτειρα. ἀριcτοφάνης καὶ Ζηνόδοτος μήτειρα Didymus. perperam Schol. V αἱ πᾶcαι μήτειρα. — 265 ἦ: ἢ Ptolem. Ascalonita. Ζῆ — et 266 ν' ὡς Aristarchus conf. H. U. 165. — 266 περιχώcατο: πέρι χώcατο cf. ad I, 449.

[Παϲιθέην, ἧϲ αἰὲν ἐέλδεαι ἤματα πάντα.]
ὣϲ φάτο, χήρατο δ' ὕπνοϲ, ἀμειβόμενοϲ δὲ προϲηύδα·
ἄγρει νῦν μοι ὄμοϲϲον ἀάατον Ϲτυγὸϲ ὕδωρ·
χειρὶ δὲ τῇ ἑτέρῃ μὲν ἕλε χθόνα πουλυβότειραν,
τῇ δ' ἑτέρῃ ἅλα μαρμαρέην, ἵνα νῶιν ἅπαντεϲ
μάρτυροι ὦϲ' οἱ ἔνερθε θεοὶ Κρόνον ἀμφὶϲ ἐόντεϲ,
ἦ μὲν ἐμοὶ δώϲειν χαρίτων μίαν ὁπλοτεράων,
Παϲιθέην, ἧϲ τ' αὐτὸϲ ἐέλδομαι ἤματα πάντα.
ὣϲ ἔφατ', οὐδ' ἀπίθηϲε θεὰ λευκώλενοϲ Ἥρη,
ὤμνυε δ' ὡϲ ἐκέλευε, θεοὺϲ δ' ὀνόμηνεν ἅπανταϲ
τοὺϲ ὑποταρταρίουϲ, οἳ Τιτῆνεϲ καλέονται.
αὐτὰρ ἐπεί ῥ' ὄμοϲέν τε τελεύτηϲέν τε τὸν ὅρκον,
τὼ βήτην Λήμνου τε καὶ Ἴμβρου ἄϲτυ λιπόντε,
ἠέρα ἑϲϲαμένω, ῥίμφα πρήϲϲοντε κέλευθον.
Ἴδην δ' ἱκέϲθην πολυπίδακα, μητέρα θηρῶν,
Λεκτόν, ὅθι πρῶτον λιπέτην ἅλα· τὼ δ' ἐπὶ χέρϲου
βήτην, ἀκροτάτη δὲ ποδῶν ὕπο ϲείετο ὕλη.
ἔνθ' ὕπνοϲ μὲν ἔμεινε πάροϲ Διὸϲ ὄϲϲε ἰδέϲθαι,
εἰϲ ἐλάτην ἀναβὰϲ περιμήκετον, ἣ τότ' ἐν Ἴδῃ

V. L. 269 omitt. AC in text. D in text. L Syr. Ven. B Harl. Lips. Townl. Vrat. A. Mosc. 2: habent C et D in marg. GHS Cant. Vrat. b. edd. vett. ἧϲ: ἣν S. αἰὲν ἱμείρεαι CGH Cant. Vrat. b. edd. vett. — 270 χήιρατο AC. προϲηῦδα D. — 271 νῦν μοι: δή μοι Et. Mg. 1, 21. ἄατον CS Vrat. A. Flor. — 272 πουλυβότειραν A. — 273 νῶϊ C. νῶϊν ἅπαντα Vrat. d. — 274 ὦϲ'[1], οἳ A. ὦϲιν ἔνερθε θεοὶ ἢ ὅϲϲοι ἔνερθε θεοὶ Eust. 984, 55. ὦϲιν ἔνερθε Rom. κρόνου S. — 275 ἡ μεν D. ἢ μὲν G. ἡμὲν Schol. A 77. ἡ μὲν Lips. suprascr. μὴν. — 276 παϲιθέην A. παϲϲιθέην Lips. ἧϲ τ' ACDGH Syr. τῆϲ τ' L. ἧϲ E. ἥματα DE. — 277 ὡϲ A. θεὰ λευκώλενοϲ: ΒΟΩΠΙϹ ΠΟΤΝΙΑ Syr. — 279 τιτᾶνεϲ Lips. Vrat. A. — 280 ὄμοϲϲέν D. — 281 λῆμνον τε καὶ ἴμβρον S. λιπόντεϲ Barocc. — 282 ἀέρα δ' Harl. — 283 ἱκέϲθην: ἵκανον Vrat. d. Strabo XIII, 543. — 284 ΛΕΚΤΟΝ Syr. ἐπι A. — 285 ὑπεϲείετο ACDEGHLS Syr. Lips. Mosc. 2. Vrat. d. Flor. Rom. ὕλη: γρ. ἴδη Lips. — 286 ὕπνοϲ αἰὲν ἔμεινε (ιμνε) D. ἔμεινε A. πάροϲ [διὸϲ] ἆϲϲον ἱκέϲθαι Cant. Vrat. A. — 287 εἰϲελάτην A. ἐνίδηι A.

A. c. 274 Aristarchus μάρτυροι: μάρτυρεϲ Zenodotus, conf. Γ 280. — 276 ἧϲ τ': Ζηνόδοτοϲ καὶ ἀριϲτοφάνηϲ ἔξω τοῦ τε, ἧϲ αὐτὸϲ ἐέλδομαι Didymus. — 279 ἐν δὲ τῷ „οἳ Τιτῆνεϲ καλέονται" προϲγράφουϲί τινεϲ καὶ ἕτερον ϲτίχον τοῦτον „ὤμνυε δ' ἐκ πέτρηϲ κατειβόμενον (corrige καταλειβόμενον vel quod praefero καταειβόμενον) Ϲτυγὸϲ ὕδωρ" Eust. 985, 33. — 285 ἀρίϲταρχοϲ ὑπο (sic) εἶτα ϲείετο ἰακῶϲ, οὕτωϲ καὶ Ζηνόδοτοϲ καὶ ἀριϲτοφάνηϲ Didymus.

μακροτάτη πεφυυῖα δι' ἠέρος αἰθέρ' ἵκανεν·
ἔνθ' ἧςτ' ὄζοιςιν πεπυκαςμένος εἰλατίνοιςιν,
ὄρνιθι λιγυρῇ ἐναλίγκιος, ἥν τ' ἐν ὄρεςςι
χαλκίδα κικλήςκουςι θεοί, ἄνδρες δὲ κύμινδιν.
Ἥρη δὲ κραιπνῶς προςεβήςετο Γάργαρον ἄκρον
Ἴδης ὑψηλῆς· ἴδε δὲ νεφεληγερέτα Ζεύς.
ὡς δ' ἴδεν, ὥς μιν ἔρως πυκινὰς φρένας ἀμφεκάλυψεν,
οἷον ὅτε πρῶτόν περ ἐμιςγέςθην φιλότητι
εἰς εὐνὴν φοιτῶντε, φίλους λήθοντε τοκῆας.
ςτῆ δ' αὐτῆς προπάροιθεν ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
Ἥρη, πῇ μεμαυῖα κατ' Οὐλύμπου τόδ' ἱκάνεις;
ἵπποι δ' οὐ παρέαςι καὶ ἅρματα, τῶν κ' ἐπιβαίης.
τὸν δὲ δολοφρονέουςα προςηύδα πότνια Ἥρη·
ἔρχομαι ὀψομένη πολυφόρβου πείρατα γαίης,
Ὠκεανόν τε, θεῶν γένεςιν, καὶ μητέρα Τηθύν,
οἵ με ςφοῖςι δόμοιςιν ἐὺ τρέφον ἠδ' ἀτίταλλον·
τοὺς εἶμ' ὀψομένη, καί ςφ' ἄκριτα νείκεα λύςω.
ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται
εὐνῆς καὶ φιλότητος, ἐπεὶ χόλος ἔμπεςε θυμῷ.

---

V. ι. 288 μακροτάτη G Syr. ἀκροτάτη Pseudopl. 125, 33. πεφυῖα D. πεφυκυῖα Et. Gud. 237, 49. — 289 ὄζοιςι CD Syr. Lips. πεπυκνωμένος L et γρ. πεπυκαςμένος. εἰλατίνοιςι C. — 290 ὄρεςςι ACDEGH Syr. Schol. N 390. — 292 προςεβήςατο DES Syr. Rom. προςεφήςετο G. — 294 ἔρος E non male: ceteri ἔρως. πυκνὰς Lips. πυκινὰ S. ἀμφεκάλυψε H. — 295 οἷον: οἷος L. γρ. καὶ οἷος A. πρῶτόν περ ACL. πρῶτον παρεμιςγέςθην Harl. πρώτιςτον DEGHS Syr. Vrat. A. Lips. Mosc. 2. μιγέςθην D. ἐμιγέςθην ES Vrat. A. Mosc. 2. ἐμιςγέτην Lips. — 296 λήθοντε: λήθοντο Schol. A 609. ἐλάθοντο Schol. Theocr. XV, 64. — 297 αὐτῆς: αὖτις S. ὀνόμαζε D Syr. — 298 πῆι A: ceteri πῇ. ποῖ ἢ τίπτε E. κατ A. — 300 προςηύδα omitt. C. προςηῦδα D. προςέφη L Lips. — 303 οἵ με ACD Lips. Vrat. A. ceteri οἵ μ' ἐν. γρ. οἵ μ' ἐν ςφοῖςι A, ita in marg. ex correctura. ἐΰτρεφον ACDGHL. — 304 ΤΟΥϹ ΙΜ (ε supra) Syr. (ε 2. man. add.). — 306 post hunc add. Syr. ЄΙ ΚЄΙΝΩΓ' ЄΠЄЄϹϹΙ ΠΑΡΑΙΠЄΠΙΘΟΥϹΑΦΙΛΟΝ ΚΗΡ ЄΙϹЄΥΝΗΗΝΑΝЄϹΑΙΜΙΟΜΟΙΩΘΗΝΑΙ ΦΙΛΟΤΗΤΙ.

---

A. c. 295 πρῶτόν περ: οὕτως ἀρίςταρχος. ἄλλοι δὲ πρώτιςτον Didymus. — 299 τῶν κ' ἐπιβαίης: ζηνόδοτος καὶ ἀριςτοφάνης ἔξω τοῦ κε ςυνδέςμου τῶν ἐπιβαίης Didymus. — 301 ἀθετοῦνται οἱ ςτίχοι (301—306?) Schol. BL. — 303 οἵ με ςφοῖςι: οἵ μ' ἐν ςφοῖςι, conf. 202. — 304—306 ἀθετοῦνται. ἠθετοῦντο παρὰ Ζηνοδότῳ Schol. A. asterisci; ὀρθῶς 205—207.

ἵπποι δ' ἐν πρυμνωρείῃ πολυπίδακος Ἴδης
ἑςτᾶς', οἵ μ' οἴςουςιν ἐπὶ τραφερήν τε καὶ ὑγρήν.
νῦν δὲ ςεῦ εἵνεκα δεῦρο κατ' Οὐλύμπου τόδ' ἱκάνω,
μή πώς μοι μετέπειτα χολώςεαι, αἴ κε ςιωπῇ
οἴχωμαι πρὸς δῶμα βαθυῤῥόου Ὠκεανοῖο.
τὴν δ' ἀπαμειβόμενος προςέφη νεφεληγερέτα Ζεύς·
Ἥρη, κεῖςε μὲν ἔςτι καὶ ὕςτερον ὁρμηθῆναι,
νῶι δ' ἄγ' ἐν φιλότητι τραπείομεν εὐνηθέντε.
οὐ γάρ πώ ποτέ μ' ὧδε θεᾶς ἔρος οὐδὲ γυναικὸς
θυμὸν ἐνὶ ςτήθεςςι περιπροχυθεὶς ἐδάμαςςεν,
οὐδ' ὁπότ' ἠραςάμην Ἰξιονίης ἀλόχοιο,
ἣ τέκε Πειρίθοον, θεόφιν μήςτωρ' ἀτάλαντον·
οὐδ' ὅτε περ Δανάης καλλιςφύρου Ἀκριςιώνης,
ἣ τέκε Περςῆα, πάντων ἀριδείκετον ἀνδρῶν·
οὐδ' ὅτε Φοίνικος κούρης τηλεκλειτοῖο,
ἣ τέκε μοι Μίνων τε καὶ ἀντίθεον Ῥαδάμανθυν·
οὐδ' ὅτε περ Cεμέλης οὐδ' Ἀλκμήνης ἐνὶ Θήβῃ,
ἥ ῥ' Ἡρακλῆα κρατερόφρονα γείνατο παῖδα·
ἡ δὲ Διώνυςον Cεμέλη τέκε, χάρμα βροτοῖςιν·
οὐδ' ὅτε Δήμητρος καλλιπλοκάμοιο ἀνάςςης,
οὐδ' ὁπότε Λητοῦς ἐρικυδέος, οὐδὲ ςεῦ αὐτῆς,

---

V. ι. 307 πρυμνωρείηι A. πρυμνωρίῃ L 1. man. πρυμνωρείᾳ E. πολυπιδάκου ACDEHS Vrat. d.: πολυπίδακος A in marg. GL Syr. Schol. Ξ 304. — 308 ςτᾶς' H. οἴςονται L. — 309 ΔΈCΕΥ Syr. — 310 μή πως μοι ACDHL. μή πώς μοι EG Syr. μετ' ἔπειτα A. μετόπιςθε DS Mor. Barocc. κοτέςςεαι Mor. Barocc. — 311 βαθυρρόου A. — 312 νεφεληγερέτα A. ζεῦς G. — 313 μέν ἐςτι ACDHL Syr. ἐςτὶ G. — 314 εὐνηθέντε ACGL: εὐνηθέντες DEHS Syr. Barocc. Lips. Vrat. d. — 315 πῶ H. ἔρος: ἔρως AC 1. man. DHL. — 316 ἐνι A. περιπροχυθεὶς A. περιχυθεὶς HS. ἐδάμαςςε G Flor. Rom. — 317 ἰξιονείης L. Lips. — 319 οὐδ' ὁπότε Vrat. A. καλλιςφύρου A. ἀκριςεώνης G. — 321 ΌΤΕΠΕΡ Syr. — 322 μίνων τε L Vrat. d. ceteri μίνω τε. μίνω καὶ Flor. Rom. ΜΙΝΩΑ Syr. — 323 καὶ ἀλκμήνης D. ἐνι AG. — 325 ἣ δὲ C. διόνυςον C. βροτοῖςι D. — 327 οὐδ' ὅτε λητοῦς H.

---

A. c. 307 πολυπίδακος Aristarchus, conf. 157. — 310 μετέπειτα: Ζηνόδοτος καὶ ἀριςτοφάνης μετόπιςθε Didymus. — 316 περιπροχυθεὶς: περιπλεχθεὶς Ixio. — 317—327 ἀθετοῦνται ςτίχοι ια΄. καὶ Ἀριςτοφάνης προηθέτει Schol. A. — 322 ἀρίςταρχος μίνων ςὺν τῷ ν̄, Ζηνόδοτος χωρὶς τοῦ ν̄ Didymus. τινὲς Μίνωνα Schol. V.

ὥϲ ϲέο νῦν ἔραμαι καί με γλυκὺϲ ἵμεροϲ αἱρεῖ.
τὸν δὲ δολοφρονέουϲα προϲηύδα πότνια Ἥρη·
αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπεϲ.
εἰ νῦν ἐν φιλότητι λιλαίεαι εὐνηθῆναι
Ἴδηϲ ἐν κορυφῇϲι, τὰ δὲ προπέφανται ἅπαντα,
πῶϲ κ' ἔοι, εἴ τιϲ νῶι θεῶν αἰειγενετάων
εὕδοντ' ἀθρήϲειε, θεοῖϲι δὲ πᾶϲι μετελθὼν
πεφράδοι; οὐκ ἂν ἐγώ γε τεὸν πρὸϲ δῶμα νεοίμην
ἐξ εὐνῆϲ ἀνϲτᾶϲα, νεμεϲϲητὸν δέ κεν εἴη.
ἀλλ' εἰ δή ῥ' ἐθέλειϲ καί τοι φίλον ἔπλετο θυμῷ,
ἔϲτιν τοι θάλαμοϲ, τόν τοι φίλοϲ υἱὸϲ ἔτευξεν
Ἥφαιϲτοϲ, πυκινὰϲ δὲ θύραϲ ϲταθμοῖϲιν ἐπῆρϲεν·
ἔνθ' ἴομεν κείοντεϲ, ἐπεί νύ τοι εὔαδεν εὐνή.
τὴν δ' ἀπαμειβόμενοϲ προϲέφη νεφεληγερέτα Ζεύϲ·
Ἥρη, μήτε θεῶν τό γε δείδιθι μήτέ τιν' ἀνδρῶν
ὄψεϲθαι· τοῖόν τοι ἐγὼ νέφοϲ ἀμφικαλύψω,
χρύϲεον· οὐδ' ἂν νῶι διαδράκοι ἠέλιόϲ περ,
οὗ τε καὶ ὀξύτατον πέλεται φάοϲ εἰϲοράαϲθαι.
ἦ ῥα, καὶ ἀγκὰϲ ἔμαρπτε Κρόνου παῖϲ ἣν παράκοιτιν·
τοῖϲι δ' ὑπὸ χθὼν δῖα φύεν νεοθηλέα ποίην,
λωτόν θ' ἑρϲήεντα ἰδὲ κρόκον ἠδ' ὑάκινθον
πυκνὸν καὶ μαλακόν, ὃϲ ἀπὸ χθονὸϲ ὑψόϲ' ἔεργε.

---

V. l. 328 ὥϲ ϲέο libri cum Apollon. de Synt. 166, 5: ὥϲ ϲεο Et. Mg. 637, 58. Et. Gud. 204, 28. Bekk. Anecd. 1145. αἱρεῖ G. αιρεῖ A. — 329 προϲηῦδα D. — 330 ἔειπαϲ C. — 332 τάδε ADL. ΤΑΔÈ Syr. — 335 οὐκ ἂν ἔπειτα Barocc θεῶν πρὸϲ δῶμα Lips. προϲ A. — 336 ἀναϲτᾶϲα D Lips. Flor. ЄΙΗΙ Syr. — 338 ἔϲτι D Lips. — 341 νεφεληγερέτα (ω) A. — 342 θεῶν CDEGL Schol. Ξ 315. θεὸν H. θεὸν A Syr. Mosc. 2. Vrat. d. μήτέ ACEGH Schol. Ξ 315. ΜΗΤΈΤΙΝ 'ΆΛΛΟΝ Syr. τιν' ἄλλον Vrat. d. τϊν' ἄλλον ἀνδρῶν H. — 343 ΑΘΑΝΑΤΟΝΤΟΙΌΝ Syr. ἐγὼν G. — 344 οὐδ' ἂρ S. ΠЄΡ' Syr. — 345 πέλει CD. — 346 ῥὰ DGL. ἔμαρψεν Eust. 1683, 11. παῖϲ libri cum Apoll. Soph. 5, 9. Rhet. Graec. II, 287, 21. — 347 ὑπο ACDH. ὕπο Rhet. Gr. II, 359, 14. φῦεν G. — 348 λωτὸν ἑρϲήεντα ἠδὲ Apoll. Soph. 63, 1. τ' ἑρϲήεντ' ἠδὲ Schol. K 75. ἠδὲ D. 1. man. Zon. Lex. 1759. — 349 ἀπο A. ἔεργε ACDEG Syr.

---

A. c. 340 εὔαδεν: τῇ πρώτῃ ϲυλλαβῇ ψιλωτέον, τῇ δὲ δευτέρᾳ δαϲυντέον Et. Gud. 216, 51. εὐνή: Ζηνόδοτοϲ καὶ ἀριϲτοφάνηϲ ἐπεὶ νύ τοι εὔαδεν εὐνήν Didymus. — 349 οὕτωϲ ἀρίϲταρχοϲ ἔεργε Didymus. ἐν δέ τιϲιν ἄειρε καὶ ἔερπε· ἐν δὲ τῇ Χίᾳ ἵκανε. Ζηνόδοτοϲ ἵν' ἀπὸ χθονὸϲ ἀγκαζέϲθην Didymus.

τῷ ἔνι λεξάσθην, ἐπὶ δὲ νεφέλην ἕσσαντο
καλὴν χρυσείην· στιλπναὶ δ' ἀπέπιπτον ἔερσαι.
ὣς ὃ μὲν ἀτρέμας εὗδε πατὴρ ἀνὰ Γαργάρῳ ἄκρῳ
ὕπνῳ καὶ φιλότητι δαμείς, ἔχε δ' ἀγκὰς ἄκοιτιν·
βῆ δὲ θέειν ἐπὶ νῆας Ἀχαιῶν νήδυμος ὕπνος,
ἀγγελίην ἐρέων γαιηόχῳ ἐννοσιγαίῳ.
ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
πρόφρων νῦν Δαναοῖσι Ποσείδαον ἐπάμυνε,
καί σφιν κῦδος ὄπαζε μίνυνθά περ, ὄφρ' ἔτι εὕδει
Ζεύς, ἐπεὶ αὐτῷ ἐγὼ μαλακὸν περὶ κῶμα κάλυψα·
Ἥρη δ' ἐν φιλότητι παρήπαφεν εὐνηθῆναι.
ὣς εἰπὼν ὃ μὲν ᾤχετ' ἐπὶ κλυτὰ φῦλ' ἀνθρώπων,
τὸν δ' ἔτι μᾶλλον ἀνῆκεν ἀμυνέμεναι Δαναοῖσιν.
αὐτίκα δ' ἐν πρώτοισι μέγα προθορὼν ἐκέλευσεν·
Ἀργεῖοι, καὶ δὴ αὖτε μεθίεμεν Ἕκτορι νίκην
Πριαμίδῃ, ἵνα νῆας ἕλῃ καὶ κῦδος ἄρηται;
ἀλλ' ὃ μὲν οὕτω φησὶ καὶ εὔχεται, οὕνεκ' Ἀχιλλεὺς
νηυσὶν ἔπι γλαφυρῇσι μένει κεχολωμένος ἦτορ·
κείνου δ' οὔ τι λίην ποθὴ ἔσσεται, εἴ κεν οἱ ἄλλοι
ἡμεῖς ὀτρυνώμεθ' ἀμυνέμεν ἀλλήλοισιν.

---

V. L. 350 ἐνι DH. δεξάσθην A et in marg. λεξασθην· ἐπϊ H. — 351 ἀπέπτίτον L. ἔερσαι A Eust. 990, 64. 991, 28. — 352 ὡς AE ὃ μὲν C. ἀνα A. — 353 εἶχε H. — 354 ἐπι A. — 356 προσηῦδα D. — 357 πρόφρον δὴ S. πρόφρων δὴ Mor. Et. Gud. 558, 9. ποσείδαον DH Bekk. An. 1199. Ποσειδᾶον Cram. An. Ox. III, 394, 4. ποσίδαον A et in marg. ποσείδαον. ποσειδάων CGL Schol. Ξ 266. Et. Mg. 79, 4. Cram. Epim. 426, 28. ΠΟ$^{ε}$CΙΔΑΩΝ Syr. (ε 2. man.). ἐπάμυνε ADEL Syr. Schol. Ξ 266: ἐπάμυνον CGHS Lips. Vrat. A. d. Bekk. An. 1199. Et. Mg. 79, 4. Cram. An. Ox. III, 394, 4. — 358 μῖνυνθά τϊ C. — 359 αὐτῷ: αὐτὸν Schol. B 2. περι ADHL. κῶμα κάλυψα ACE 991, 53. GS Schol. B 2. ἐν ἄλλῳ κῶμ' ἐκάλυψα A, ita DE 987, 30 HL Vrat. b. d. ΚΩΜΑΚΑΛΥΨΑ Syr. — 360 φυλότητι G. εὐνηθεῖσα S. — 361 ὡς A. ὃ μὲν C. — 362 δαναοῖσι D Syr. — 363 προθορῶν H Lips. ЄΚЄΛЄΥЄ Syr. — 364 δὴ αὖτε: libri δ' αὖτε, conf. H U. 281. μεθείεμεν A in t. H Vrat. A. d. μεθείομεν D. μεθίετε$^{μεν}$ S Harl. quod placet. μεθίετε Lips vulgo μεθίεμεν, quod etiam A in margine habet. — 365 κῦδος ἕλοιτο Lips — 366 ἀχϊλεὺς C. — 367 ἐπι AH. ἐπὶ CDGL. — 368 λῦην H. εἴ κέν, οἱ A. — 360 ἀλλήλοισι D.

---

A. c. 351 ἀπέπιπτον: Ζηνόδοτος ἐπέπιπτον Didymus. male Schol. V Ζηνόδοτος γράφει ἀνέπιπτον. ἔερσαι: ἐέρσαι Ptolem. Ascalonita conf. Eust. 991, 26. ἐπάγουσι δέ τινες „δή ῥα τότ' ὀφθαλμοῖσι Διὸς χύτο νήδυμος ὕπνος“ Schol. V. — 354 νήδυμος Aristarchus. — 366 εὔχεται: ἔλπεται Zenodotus.

ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες.
ἀσπίδες ὅσσαι ἄρισται ἐνὶ στρατῷ ἠδὲ μέγισται,
ἑσσάμενοι, κεφαλὰς δὲ παναίθῃσιν κορύθεσσι
κρύψαντες, χερσὶν δὲ τὰ μακρότατ' ἔγχε' ἑλόντες,
ἴομεν· αὐτὰρ ἐγὼν ἡγήσομαι, οὐδ' ἔτι φημὶ
Ἕκτορα Πριαμίδην μενέειν μάλα περ μεμαῶτα.
ὃς δέ κ' ἀνὴρ μενέχαρμος, ἔχει δ' ὀλίγον σάκος ὤμῳ,
χείρονι φωτὶ δότω, ὃ δ' ἐν ἀσπίδι μείζονι δύτω.
ὣς ἔφαθ', οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδὲ πίθοντο.
τοὺς δ' αὐτοὶ βασιλῆες ἐκόσμεον οὐτάμενοί περ,
Τυδείδης Ὀδυσεύς τε καὶ Ἀτρείδης Ἀγαμέμνων·
οἰχόμενοι δ' ἐπὶ πάντας ἀρήια τεύχε' ἄμειβον.
ἐσθλὰ μὲν ἐσθλὸς ἔδυνε, χέρεια δὲ χείρονι δόσκον.
αὐτὰρ ἐπεί ῥ' ἕσσαντο περὶ χροῒ νώροπα χαλκόν,
βάν ῥ' ἴμεν· ἦρχε δ' ἄρα σφι Ποσειδάων ἐνοσίχθων,
δεινὸν ἄορ τανύηκες ἔχων ἐν χειρὶ παχείῃ,
εἴκελον ἀστεροπῇ· τῷ δ' οὐ θέμις ἐστὶ μιγῆναι
ἐν δαῒ λευγαλέῃ, ἀλλὰ δέος ἰσχάνει ἄνδρας.

---

V. l. 370 ἐγὼ ACDGLS Syr. ἐγὼν H. — 371 ἀσπίδας DEGHS: ἀσπίδες ACL Syr. ἐνι A. — 372 παναίθηισιν A. παναίθῃσι DE Lips. κορύθεσσι ACEG Syr. — 373 χερσὶ D Lips. δὲ ACDEHLS Syr. Vrat. d. vulgo χερσίν τε. — 374 ΕΓῺ Syr. οὐδέ τι φημὶ DEGHLS. ΟΥΔΈΤΙ Syr. — 376 ἔχει: ἔχῃ ACDHL Syr. Cant. Lips. Vrat. b. d. Mosc. 2. — 377 δοτῳ H. ὃ δ' D. ὅδ' CGH. — 378 ὡς A. οἳ δ' L. οἵδ' C. ΗΔΕΠΙΘΟΝΤΟ Syr. vulgo ἠδ' ἐπίθοντο. — 379 οὐτάμενοί τε D. — 380 ὀδυσσεύς DE GH Flor. Rom. — 381 ἐπι H. — 382 μὲν ἐσθλὸν G χέρεια ACDGHS Syr. Schol. A 80. χέρηα E. χέρηα Cram. Ep. 350, 25. χέρηι δὲ χείρονα L. δόσκεν libri cum Schol. A 80. Cram. Ep. 350, 25: δόσκον H Rom. — 383 αὐτοὶ ἐπεὶ L. ἕσαντο C. περι AH. — 384 σφιν G. δέ σφι Lips. ποσιδάων A Syr. 1. man. ποσειδάων A in marg. Syr. ex corr. — 386 ἵκελον G. ἴκελον E. ἶκελον A in marg. ceteri εἴκελον cum Et. Gud. 164, 33. Apud Zonar. 714 et Et. Orion. 63, 3 legitur εἴκελος ἀστεροπῇ. τόδ' οὐ D. — 387 ἐν δαῆι D.

---

A. c. 372 παναίθῃσιν Euphranor, Herodianus: παναιθῇσιν οἱ πλείους Schol. A. οὕτως ὁ Εὐφράνωρ· οἱ πλείους δὲ ὀξύνουσι τὴν τοιαύτην λέξιν ὡς ἐν τοῖς Ἀπίωνος καὶ Ἡροδώρου δηλοῦται Eust. 992, 59. — 376 ἀρίσταρχος διὰ τῆς (cod. τοῦ) ει διφθόγγου ἔχει Didymus. — 376, 377 ἀθετοῦνται. Ἀριστοφάνης προηθέτει· Ζηνόδοτος οὐδὲ γράφει Schol. A. — 382 οὕτως ἀρίσταρχος δοσκον (sic) Didymus. ἔνια δὲ τῶν ὑπομνημάτων δῶκεν ἀντὶ τοῦ δόσκεν· καὶ ἔστιν εὐφραδέστερον Didymus. οὕτως Ἀρίσταρχος δόσκεν· ἔν τισι δὲ δῶκεν Schol. L. τὸ δὲ „χείρονι δόσκε“ δόσκον γράφουσιν οἱ ἀκριβέστεροι. τουτέστιν ἐδίδουν οἱ βασιλεῖς Eust. 992, 44. — 387 δαῒ Herodianus: δάϊ Ptolem. Ascalonita.

Τρῶαϲ δ' αὖθ' ἑτέρωθεν ἐκόϲμεε φαίδιμοϲ Ἕκτωρ.
δή ῥα τότ' αἰνοτάτην ἔριδα πτολέμοιο τάνυϲϲαν
κυανοχαῖτα Ποϲειδάων καὶ φαίδιμοϲ Ἕκτωρ,
ἤ τοι ὃ μὲν Τρώεϲϲιν, ὃ δ' Ἀργείοιϲιν ἀρήγων.
ἐκλύϲθη δὲ θάλαϲϲα ποτὶ κλιϲίαϲ τε νέαϲ τε
Ἀργείων· οἳ δὲ ξύνιϲαν μεγάλῳ ἀλαλητῷ.
οὔτε θαλάϲϲηϲ κῦμα τόϲον βοάᾳ ποτὶ χέρϲον,
ποντόθεν ὀρνύμενον πνοιῇ βορέω ἀλεγεινῇ·
οὔτε πυρὸϲ τόϲϲόϲ γε πέλει βρόμοϲ αἰθομένοιο
οὔρεοϲ ἐν βήϲϲηϲ, ὅτε τ' ὤρετο καιέμεν ὕλην·
οὔτ' ἄνεμοϲ τόϲϲόν γε περὶ δρυϲὶν ὑψικόμοιϲιν
ἠπύει, ὅϲ τε μάλιϲτα μέγα βρέμεται χαλεπαίνων,
ὅϲϲη ἄρα Τρώων καὶ Ἀχαιῶν ἔπλετο φωνὴ
δεινὸν ἀυϲάντων, ὅτ' ἐπ' ἀλλήλοιϲιν ὄρουϲαν.
Αἴαντοϲ δὲ πρῶτοϲ ἀκόντιϲε φαίδιμοϲ Ἕκτωρ
ἔγχει, ἐπεὶ τέτραπτο πρὸϲ ἰθύ οἱ, οὐδ' ἀφάμαρτε,
τῇ ῥα δύω τελαμῶνε περὶ ϲτήθεϲϲι τετάϲθην,
ἤ τοι ὃ μὲν ϲάκεοϲ, ὃ δὲ φαϲγάνου ἀργυροήλου·

---

V. l. 388 τρῷαϲ L. δ' αὖ L Cant. ἐκόϲμεε G: ἐκόϲμει ACDEHL Syr. Cant. Mor. Lips. Vrat. b. d. conf. H. U. 97. — 389 δὴ ῥὰ L. ἐνοτάτην D. πολέμοιο E bis — 390 ποϲιδάων A Syr. ποϲειδάων A in marg. — 391 ὃ μὲν C. ὃ δ' D. ὅδ' CGHL. — 392 ποτι A. προτὶ L. — 393 οἳ δὲ C. δὲ ξύμβηϲαν D. — 394 τόϲϲον D Lips. ποτὶ H. προτὶ G. — 395 πάντοθεν Cant. βορέῳ G. βορέα S. πνοιῆι ἀνέμου C. ἀνέμων Lips. — 396 τόϲϲόϲ γε DH. τόϲοϲ γε Et. Mg. 214, 36. τόϲϲοϲ τε G Flor. πέλει Et. Mg. 214, 36: ποτὶ DE bis GS Syr. Schol. N 41. ποτι AC. ποθι HL. τόϲϲοϲ γὰρ πέλεται Schol. Apoll. Rhod. III, 861. — 397 βήϲϲηιϲ' A. — 398 τόϲϲόν γε D. περὶ DLS Harl περι A: ποτὶ CEG. ποτι H. Syr. — 399 ἐπρίει S. ὅϲ τε: ὅτε L 1. man. ὅττε L 2. man. — 400 ὅϲϲη: τόϲϲη DGHS Syr. Mor. Barocc. Harl. Townl. Lips. Mosc. 2. Vrat. d. Flor. ὅϲϲη ἢ τόϲϲη E. τρῴων L. — 401 ἀϋϲϲάντων CG Vrat. A. — 403 ЄΠΙΤЄΤΡΑΠΤΟ Syr. τράπετο Lips. πρὸϲ ἰθύει D. ΠϹΟϹΙΘΥΜΟΥΔ Syr. ἀφάμαρτε ACDEGHL Syr. — 404 ῥὰ L. περι AH. τέταϲθον L. πετάϲθην G. — 405 libri ἤτοι. ὃ δὲ C.

---

A. c. 389 οὕτω διὰ τοῦ ᾱ γραπτέον τάνυϲϲαν Didymus. — 394, 395 Zenodotus post 399 collocavit. — 396 τόϲϲοϲ Aristarchus: τοϲϲόϲ Tyrannio. — 397 ὤρετο: ἔν τιϲι τῶν ὑπομνημάτων ὦρορε, καὶ ἔϲτιν ὅμοιον τῷ „ὦρορ' ἐπαΐξαϲ“ (B 146) Didymus. — 398 οὕτω διὰ τοῦ ν̄ τόϲϲον γε Didymus. Ζηνόδοτοϲ τόϲϲοϲ γε Schol. A, conf. Schol. V ad 396. ὑψικόμοιϲιν: τὸ δὲ δρυϲὶν ὑψικόμοιϲιν Ἀγαθοκλῆϲ, ὡϲ οἱ παλαιοί φαϲιν, δρυϲὶν ἰξοφόροιϲι γράφει Eust. 994, 41. — 400 ὅϲϲη: ἔξω τοῦ τ̄ αἱ ἀριϲτάρχου. οὕτω καὶ Ζηνόδοτοϲ καὶ ἀριϲτοφάνηϲ Didymus.

τώ οἱ ῥυcάcθην τέρενα χρόα. χώcατο δ' Ἕκτωρ,
ὅττί ῥά οἱ βέλοc ὠκὺ ἐτώcιον ἔκφυγε χειρόc,
ἂψ δ' ἑτάρων εἰc ἔθνοc ἐχάζετο κῆρ' ἀλεείνων.
τὸν μὲν ἔπειτ' ἀπιόντα μέγαc Τελαμώνιοc Αἴαc
χερμαδίῳ, τά ῥα πολλά, θοάων ἔχματα νηῶν,
πὰρ ποcὶ μαρναμένων ἐκυλίνδετο, τῶν ἓν ἀείραc
cτῆθοc βεβλήκει ὑπὲρ ἄντυγοc, ἀγχόθι δειρῆc,
cτρόμβον δ' ὣc ἔcceυε βαλών, περὶ δ' ἔδραμε πάντῃ.
ὡc δ' ὅθ' ὑπὸ πληγῆc πατρὸc Διὸc ἐξερίπῃ δρῦc
πρόῤῥιζοc, δεινὴ δὲ θεείου γίγνεται ὀδμὴ
ἐξ αὐτῆc· τὸν δ' οὔ περ ἔχει θράcοc, ὅc κεν ἴδηται
ἐγγὺc ἐών, χαλεπὸc δὲ Διὸc μεγάλοιο κεραυνόc,
ὣc ἔπεϲ' Ἕκτοροc ὦκα χαμαὶ μένοc ἐν κονίῃcι.
χειρὸc δ' ἔκβαλεν ἔγχοc, ἐπ' αὐτῷ δ' ἀcπὶc ἑάφθη
καὶ κόρυc, ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
οἳ δὲ μέγα ἰάχοντεc ἐπέδραμον υἷεc Ἀχαιῶν,
ἐλπόμενοι ἐρύεcθαι, ἀκόντιζον δὲ θαμειὰc
αἰχμάc· ἀλλ' οὔ τιc ἐδυνήcατο ποιμένα λαῶν
οὐτάcαι οὐδὲ βαλεῖν· πρὶν γὰρ περίβηcαν ἄριcτοι,
Πουλυδάμαc τε καὶ Αἰνείαc καὶ δῖοc Ἀγήνωρ

V. L. 406 τῶι οἱ D. ῥυcάcθην ACDEGHLS et libri apud Heynium. ΕΡΥϹΑϹΘΗΝ Syr. — 407 ὅττι δή E. Rom. — 409 ἐπιόντα Lips. — 410 τὰ ῥὰ L. αἴχματα D 1. man. corr. eadem man. ἔχματα. — 411 παρ ADH. — 412 βεβλήκει ACDE 995, 19; 49; 50; 56. GHLS Syr. Schol. Λ 26. ἐβεβλήκει ἢ βεβλήκει Eust. 995, 45. scriptura βεβλήκειν, quam exhibent Wolf. Bothe. Bekker. Dindorf. omni caret librorum auctoritate. — 413 ὡc A. περι CH. πάντῃ AEG: ceteri πάντη. — 414 ΟϹ Ambros. ὑπὸ DEH Harl. Vrat. d. Mor. Cant. Lips. ΥΠΟ Syr. ὑπαὶ CGLS Flor. Rom. πληγῆc AH Harl. Vrat. d. ῥιπῆc CDEGLS Syr. Mor. Cant. Lips. γρ. ὑποριπῆc A. ἐξέριπε Mor. — 415 γίγνεται L: γίνεται A Ambr. C 2. man. DEGH Syr. γίνετ' C 1. man. ΟΔΜΗΙ Ambros. — 416 οὔ περ: οὔ κεν Barocc — 418 ΩϹΠΕϹΕΝ Ambr. ὦκα: ὠκὺ L. κονίῃcι A Ambr. CDEG Syr. — 419 ἐπαυτῷ H. ἐάφθη CEHLS. — 420 omitt. Ambros. et A in textu, qui habet in marg. infer. man. rec. ἀμφι D. — 421 οἳ δὲ C. μέγ' Lips. — 422 ΕΡΥϹΑϹΘΑΙ Ambros. — 423 δυνήcατο L. ἐδυνήcετο Lips. ἐδύνατο Mor. Barocc. — 424 ἄριcτοι: ἐν ἄλλῳ περίβηcαν ἅπαντεc A. — 425 τὲ H.

A. c. 412 οὕτωc ἀρίcταρχοc βεβλήκει Didymus. Zenodotus et Aristophanes βεβλήκειν. ν̄ paragogico opus non esse monent Ε 899. Ζ 170. Η 394. ε 112. μ 160. 242. ρ 359. vid. H. T. 195. — 416 Aristophanes τὸν (τῶν?) δ' οὔ τιν' ἔχει θράcοc ὅc τιc ἴδηται. — 418 ἀρίcταρχοc ὠκὺ Didymus. Massiliensis et Chia ὦκα — 419 ἑάφθη Aristarchus, cf. ad N 543. ἐάφθη Ammonius, vid. Cram. Ep. 168, 15.

Ϲαρπηδών τ', ἀρχὸς Λυκίων, καὶ Γλαῦκος ἀμύμων.
τῶν δ' ἄλλων οὔ τίς εὑ ἀκήδεϲεν, ἀλλὰ πάροιθεν
ἀϲπίδας εὐκύκλους ϲχέθον αὐτοῦ. τὸν δ' ἄρ' ἑταῖροι
χερϲὶν ἀείραντες φέρον ἐκ πόνου, ὄφρ' ἵκεθ' ἵππους
ὠκέας, οἵ οἱ ὄπιϲθε μάχης ἠδὲ πτολέμοιο
ἕϲταϲαν ἡνίοχόν τε καὶ ἅρματα ποικίλ' ἔχοντες·
οἳ τόν γε προτὶ ἄϲτυ φέρον βαρέα ϲτενάχοντα.
ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐυῤῥεῖος ποταμοῖο,
Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς,
ἔνθά μιν ἐξ ἵππων πέλαϲαν χθονί, κὰδ δέ οἱ ὕδωρ
χεῦαν· ὃ δ' ἐμπνύνθη καὶ ἀνέδρακεν ὀφθαλμοῖϲιν,
ἑζόμενος δ' ἐπὶ γοῦνα κελαινεφὲς αἷμ' ἀπέμεϲϲεν.
αὖτις δ' ἐξοπίϲω πλῆτο χθονί, τὼ δέ οἱ ὄϲϲε
νὺξ ἐκάλυψε μέλαινα· βέλος δ' ἔτι θυμὸν ἐδάμνα.
Ἀργεῖοι δ' ὡς οὖν ἴδον Ἕκτορα νόϲφι κιόντα,
μᾶλλον ἐπὶ Τρώεϲϲι θόρον, μνήϲαντο δὲ χάρμης.
ἔνθα πολὺ πρώτιϲτος Ὀιλῆος ταχὺς Αἴας
Ϲάτνιον οὔταϲε δουρὶ μετάλμενος ὀξυόεντι
Ἠνοπίδην, ὃν ἄρα νύμφη τέκε νηὶς ἀμύμων
Ἤνοπι βουκολέοντι παρ' ὄχθας Ϲατνιόεντος.

---

V. L. 427 οὔ τίϲ, εὑ A. οὔτις εὖ EG Lexicon περὶ πνευμάτων ed. Valckenaer. pg. 241. οὔτις ϲεῦ H Apoll. Soph. 20, 12. εὐακήδεϲεν C. ἀκήδεϲεν ADEGHS Lips. Cant. Mor. Harl. Mosc. 2. ἀκήδηϲεν Townl. Vrat. b. d. Apoll. Soph. 20, 12. ἀκήδηϲ' L. — 428 ἐϋκύκλους CG Flor. αρ A Ambr. ἂρ GHL. — 429 ἀείροντες L Lips. — 431 ἔϲταϲαν A. — 433 ΟΤΕΔΕ Ambr. ἵξον DL. ἶξον A. ἐϋῤῥῆος L. εὐρεῖος S Townl. — 435 ἔνθά μιν ACDGHL. καδδέ CDGHL. — 436 ὃ δ' D. ὃδ' CGHL. * ἐμπνύνθη: ἀμπνύνθη libri. ὀφθαλμοῖϲι D. — 437 ἱζόμενος S. ἀπέμεϲϲεν: ἀπέμαϲϲεν ACDS Schol. O 11. — 438 αὖθϊϲ C. ἐξ ὀπίϲω Et. Mg. 171, 43. τὼ δέ οἱ ACEHLS Lips. Mor. Vrat. d.: καδδέ οἱ DGS. τὼ ἢ κὰδ E. — 440 οὖν omitt. L. εἶδον H. νόϲφιν ἐόντα ACS Lips. γρ. νόϲφι κιόντα A. — 441 τρώεϲϲι om. H. τρῴεϲϲι L. θόρων (o supra ω) C. — 444 οἰνοπίδην Barocc. Mor. Strabo XIII, 605 et 619. — 445 οἴνοπι Mor. Strabo. ὄχθη L. ὄχθαιϲ Strabo XIII, 605.

---

A. c. 427 τῶν δ': τῶν τ' Zenodotus. διήλλαττον αἱ Ἀριστάρχου ἀκήδεϲαν (ε supra α) καὶ ἀκηδέϲατο Didymus. — 434 ἀθάνατος: ἀθάνατον Zenodotus, conf. Aristonicum ad Φ 2. — 436 ἐμπνύνθη, non ἀμπνύνθη, Aristarchum scripsisse conieci H. T. 190. — 437 ἀρίϲταρχος ἀπέμεϲϲεν Didymus. ἀπέμαϲϲεν Zenodotus, conf. Ariston. ad O 11. — 438 τὼ δέ οἱ: οὕτως ἀρίϲταρχος. ἄλλοι δὲ καδδε οι οϲϲε (sic) Didymus. — 445 ὄχθας: Ζηνόδοτος παρ' ὄχθης (ὄχθῃς?) Schol. V. τινὲς δὲ Ϲαγγαρίοιο Schol. V.

τὸν μὲν Ὀιλιάδης δουρὶ κλυτὸς ἐγγύθεν ἐλθὼν
οὖτα κατὰ λαπάρην· ὃ δ' ἀνετράπετ', ἀμφὶ δ' ἄρ' αὐτῷ
Τρῶες καὶ Δαναοὶ σύναγον κρατερὴν ὑσμίνην.
τῷ δ' ἐπὶ Πουλυδάμας ἐγχέσπαλος ἦλθεν ἀμύντωρ
Πανθοΐδης, βάλε δὲ Προθοήνορα δεξιὸν ὦμον,
υἱὸν Ἀρηιλύκοιο, δι' ὤμου δ' ὄβριμον ἔγχος
ἔσχεν, ὃ δ' ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ.
Πουλυδάμας δ' ἔκπαγλον ἐπεύξατο μακρὸν ἀύσας·
οὐ μὰν αὖτ' ὀίω μεγαθύμου Πανθοΐδαο
χειρὸς ἄπο στιβαρῆς ἅλιον πηδῆσαι ἄκοντα,
ἀλλά τις Ἀργείων κόμισε χροΐ, καί μιν ὀίω
αὐτῷ σκηπτόμενον κατίμεν δόμον Ἄϊδος εἴσω.
ὣς ἔφατ', Ἀργείοισι δ' ἄχος γένετ' εὐξαμένοιο·
Αἴαντι δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινε,
τῷ Τελαμωνιάδῃ· τοῦ γὰρ πέσεν ἄγχι μάλιστα.
καρπαλίμως δ' ἀπιόντος ἀκόντισε δουρὶ φαεινῷ.
Πουλυδάμας δ' αὐτὸς μὲν ἀλεύατο κῆρα μέλαιναν
λικριφὶς ἀίξας, κόμισεν δ' Ἀντήνορος υἱὸς
Ἀρχέλοχος· τῷ γάρ ῥα θεοὶ βούλευσαν ὄλεθρον.
τόν ῥ' ἔβαλεν κεφαλῆς τε καὶ αὐχένος ἐν συνεοχμῷ,
νείατον ἀστράγαλον, ἀπὸ δ' ἄμφω κέρσε τένοντε·
τοῦ δὲ πολὺ προτέρη κεφαλὴ στόμα τε ῥῖνές τε
οὔδει πλῆντ' ἤ περ κνῆμαι καὶ γοῦνα πεσόντος.

---

V. l. 446 όιλιάδης D. δουρὶ, κλυτὸς A. — 447 οὔτασε καλλαπάρην ACDHLS Cant. Barocc. Mor. Harl. Lips. Vrat. A. Mosc. 2. ὃδ' D. ὅδ' EGHL. ἂρ AGH. — 448 τρῷες L. ξύναγον E Rom. — 449 ἐπι HL. ἐγχέσπαλος A. — 451 ἀρηϊλύκοιο A. ἀρηϊλυκίοιο S. εὐρυλύκοιο Lips. ὄμβριμον C Flor. δόμβριμον S. — 452 ὃ δ' D. ὅδ' CGHL. — 453 δ' om. H. μακρὰ βιβάσθων AHS Harl. Vrat. d. γρ. μακρὸν ἀύσας A. — 454 οἴω E Lips. Rom. πανθοΐδαο L: ceteri πανθοίδαο. — 455 ἀπὸ ACDHL. ἄλιον D. — 456 κόμισεν DH. — 458 ὥς A. — 459 ὄρινε ACDEGHL Plutarchus Plat. Quaest. 3. — 462 πουλιδάμας G. ἀλεύσατο S. — 463 λϊκρϊφὴς C. κόμισε DE Lips. — 464 ἀρχίλοχος S. γὰρ ῥὰ DL. — 465 ὃν ἔβαλε E. τόν ῥ' ἔβαλε D Lips. κεφαλήν τε H Vrat. d. τὲ A. ἐν omitt. G. συνεχμῷ S. — 466 ἄπο CHL. τένοντε: τένοντας Lips. — 467 τοῦδε πολυ D. προτέρη ACDGHL et Heynii libri: πρότερον E Rom. στόμά τε C. ῥίνες τε D. — 468 οὖδεϊ ACDEGHL Et. Mg. 676, 47. Cram. Ep. 150, 20. πλήντ' D. γοῦνα καὶ κνῆμαι D. πεσόντα Vrat. d.

---

A. c. 449 ἦλθεν ἀμύντωρ conf. N 384. τινὲς ἦεν Schol. V. — 456 οὕτως κόμισε χωρὶς τοῦ ν̄ Didymus, conf. H. T. 392. — 463 λικριφὶς Aristarchus ὀξυτόνως. — 464 Ἀρχέλοχος Aristarchus. — 468 οὔδει, conf. H. U. 15.

Αἴαϲ δ' αὖτ' ἐγέγωνεν ἀμύμονι Πουλυδάμαντι·
φράζεο Πουλυδάμα, καί μοι νημερτὲϲ ἐνίϲπεϲ,
ἦ ῥ' οὐχ οὗτοϲ ἀνὴρ Προθοήνοροϲ ἀντὶ πεφάϲθαι
ἄξιοϲ; οὐ μέν μοι κακὸϲ εἴδεται οὐδὲ κακῶν ἔξ,
ἀλλὰ καϲίγνητοϲ Ἀντήνοροϲ ἱπποδάμοιο,
ἢ παῖϲ· αὐτῷ γὰρ γενεὴν ἄγχιϲτα ἐῴκει
ἦ ῥ' εὖ γιγνώϲκων, Τρῶαϲ δ' ἄχοϲ ἔλλαβε θυμόν.
ἔνθ' Ἀκάμαϲ Πρόμαχον Βοιώτιον οὔταϲε δουρὶ
ἀμφὶ καϲιγνήτῳ βεβαώϲ· ὃ δ' ὕφελκε ποδοῖιν.
τῷ δ' Ἀκάμαϲ ἔκπαγλον ἐπεύξατο μακρὸν ἀύϲαϲ·
Ἀργεῖοι ἰόμωροι, ἀπειλάων ἀκόρητοι,
οὔ θην οἴοιϲίν γε πόνοϲ τ' ἔϲεται καὶ ὀιζὺϲ
ἡμῖν, ἀλλά ποθ' ὧδε κατακτανέεϲθε καὶ ὔμμεϲ.
φράζεϲθ' ὡϲ ὑμῖν Πρόμαχοϲ δεδμημένοϲ εὕδει
ἔγχει ἐμῷ, ἵνα μή τι καϲιγνήτοιό γε ποινὴ
δηρὸν ἄτιτοϲ ἔῃ. τῶ καί τέ τιϲ εὔχεται ἀνὴρ
γνωτὸν ἐνὶ μεγάροιϲιν ἀρῆϲ ἀλκτῆρα λιπέϲθαι.
ὣϲ ἔφατ', Ἀργείοιϲι δ' ἄχοϲ γένετ' εὐξαμένοιο·
Πηνέλεῳ δὲ μάλιϲτα δαΐφρονι θυμὸν ὄρινεν·

---

V. l. 469 αὖτ', ἐγέγωνεν A. αὖτ' ἐγέγωνεν DH Townl. Mosc. 2. Vrat. d. αὖτε γέγωνεν CGL. πουλιδάμαντι G. — 470 ἔνιϲπε CDEGHLS et Heynii libri: ἐνίϲπεϲ solus A. ἔνιϲπεϲ Cram. Ep. 290, 32. — 471 ἦ δὴ οὐχ E. οὐκ G. ἀντιπεφᾶϲθαι ACDEL. ἀντιπεφάϲθαι H. ἀντιπεφᾶπται G, conf. N 447. — 472 οὐ μέν τοι S. ἐξ H: ceteri ἔξ cum Jo. Alex. 28, 4. — 474 παῖϲ omnes praeter L, qui πάϊϲ exhibet. ἐῴκει: ἐν ἄλλῳ ἔοικεν A. — 475 γιγνώϲκων L: γινώϲκων ACDEGH. τρῷαϲ L. ἔλαβε H. θυμόν ACDHL Harl. Lips. Ven. B. Mor. Vrat. A: θυμῷ EG Flor. Rom. θυμοῦ Cant. — 477 ὃ δ' D. ὅδ' CHL. — 479 ἰόμοροι H Vrat. A. — 481 ὕμμεϲ DH. — 482 ὕμμϊν H. ὔμμιν Cant. ὑμῖν et ὑμῶν Harl. ἡμῶν Lips. — 483 ἵνα μή τοι S. ἐν ἄλλῳ ἔγχει ἐμῷ μή τοι τι A. γε: τε S. ποινῇ Vrat. d. — 484 ἔῃ: εἴη D Lips. καί τέ τϊϲ H. Vrat. d. vulgo καί κέ τιϲ. G καί κε τιϲ. Lips. omitt. κε. — 485 ἐνι A. ἐνῖμμεγάροιϲ C. μεγάροιϲ AEGHL. μεγάροιϲιν D. μεγάροιϲι S. ἄρεωϲ ADGHS et Heynii libri. ἄρεωϲ (ο superscr.) C. ἄρεοϲ EL. λιπέϲθαι: γενέϲθαι ES Rom. γνωϲτὸν ἐνὶ μεγάροιϲιν ἄρηοϲ ἀλκτῆρα γενέϲθαι Et. Gud. 603, 29, conf. C 100.

---

A. c. 469 ζηνόδοτοϲ ἀμύμονα πουλυδαμαντ (sic) Didymus. — 470 Πουλυδάμα: Πουλυδάμαν Zenodotus. — 474 ἀριϲτοφάνηϲ αὐτῷ γάρ ῥα φυὴν ἄγχιϲτα ἔοικεν Didymus. — 477 ὕφελκε h. l. libri omnes; ceteris locis plerique εἷλκε pro ἕλκε, cf. H. T. 238. — 484 ἔῃ ἄτιτοϲ Heyne. Clarke. conf. God. Herm. ad Aesch. Agam. 72. καί τέ τιϲ God. Hermannus Opusc. IV, 41 ex coniectura, quae confirmatur scriptura codd. H. Vrat. d. — 485 μεγάροιϲιν ἀρῆϲ Zenodotus: Aristarchus μεγάροιϲ ἄρεω conf. C 100. 213. H. T. 203.

ὡρμήθη δ' Ἀκάμαντος· ὃ δ' οὐχ ὑπέμεινεν ἐρωὴν
Πηνελέωο ἄνακτος· ὃ δ' οὔτασεν Ἰλιονῆα,
υἱὸν Φόρβαντος πολυμήλου, τόν ῥα μάλιστα
Ἑρμείας Τρώων ἐφίλει καὶ κτῆσιν ὄπασσε·
τῷ δ' ἄρ' ὑπὸ μήτηρ μοῦνον τέκεν Ἰλιονῆα·
τὸν τόθ' ὑπ' ὀφρύος οὖτα κατ' ὀφθαλμοῖο θέμεθλα,
ἐκ δ' ὦσε γλήνην· δόρυ δ' ὀφθαλμοῖο διὰ πρὸ
καὶ διὰ ἰνίου ἦλθεν, ὃ δ' ἕζετο χεῖρε πετάσσας
ἄμφω. Πηνέλεως δὲ ἐρυσσάμενος ξίφος ὀξὺ
αὐχένα μέσσον ἔλασσεν, ἀπήραξεν δὲ χαμᾶζε
αὐτῇ σὺν πήληκι κάρη· ἔτι δ' ὄβριμον ἔγχος
ἦεν ἐν ὀφθαλμῷ· ὃ δὲ φὴ κώδειαν ἀνασχὼν
πέφραδέ τε Τρώεσσι καὶ εὐχόμενος ἔπος ηὔδα·
εἰπέμεναί μοι Τρῶες ἀγαυοῦ Ἰλιονῆος
πατρὶ φίλῳ καὶ μητρὶ γοήμεναι ἐν μεγάροισιν·
οὐδὲ γὰρ ἡ Προμάχοιο δάμαρ Ἀλεγηνορίδαο
ἀνδρὶ φίλῳ ἐλθόντι γανύσσεται, ὁππότε κεν δὴ
ἐκ Τροίης σὺν νηυσὶ νεώμεθα κοῦροι Ἀχαιῶν.
ὣς φάτο, τοὺς δ' ἄρα πάντας ὑπὸ τρόμος ἔλλαβε γυῖα,

V. L. 488 ὃ δ' D. ὅδ' GHL. — 489 πηνελέοιο CDEGHLS et Heynii libri. πηνελέωο A. πηνέλεω Cant. γρ. δὲ πηνελέωο Harl. ὃ δ' DL. ὅδ' CH. — 490 τὸν δὲ μάλιστα Mor. Barocc. — 491 τρῴων L. ὄπασσε AC DH Pausan. II, 3, 4. ὄπαζε S. ὤπασεν E. — 492 ἄρ DGHL. αρ A. ὑπο ADHL. — 494 libri διαπρὸ. — 495 ὃ δ' D. ὅδ' CGHL. πετάσας E Lips. — 496 πηνέλεος E Vrat. d. δ' ἐρυσσάμενος G Flor. Rom. — 497 χαμᾶζε ADEH: χαμάζε CGL — 498 πήλικι D. κάρην G. 2. man. ὄμβριμον CHS. — 499 ὁ δὲ φῆ AE Schol. C 253. Suidas II, 2, 1456, 2. ὁ δὴ φὴ G Schol. Nicandr. Alex. 215. ὁ δεφη Apoll. Soph. 106, 4. ὃ δ' ἔφη D. ὅδ' ἔφη CH. ὁ δ' ἔφη LS Lips. Vrat. A. b. d. — 500 τρῴεσσι L. ηὖδα D. — 501 τρῷες L. — 503 ἡ om. D. ἀλεγεινορίδαο L. — 505 συν A. — 506 ὑπο ACDH. τρόμος ἔλλαβε γυῖα ACEH (ἔλαβε) S (εἵλετο) Cant. Barocc. Mor. Lips. Rom. χλωρὸν δέος εἶλεν DGL. γρ. τοὺς ἄρα πάντας ὑπο χλωρὸν δέος εἶλε A.

A. c. 499 φὴ (= ὡς) Zenodotus: Aristarchus φῆ (= ἔφη), conf. Eust. 999, 25. — 500 Ἀρίσταρχος ἐκδεξάμενος τὸ ἔφη ῥῆμα ὁμοίως τῷ ἔβη δοκεῖ ἀθετεῖν τὸν δεύτερον στίχον (500), ὅπερ οὐκ ἀναγκαῖον Schol. A. Ἀρίσταρχος τὸ φῆ ῥῆμα ἐκδέχεται καὶ ἀθετεῖ τὸν ἑξῆς (500) Schol. A. οὐδέποτε τοῦ ποιητοῦ ἐπὶ τοῦ εἰπεῖν τάσσοντος τὴν λέξιν (φράσαι) διόπερ Ἀρίσταρχος ἐν τῇ Ξ (cod. P) τῆς Ἰλιάδος ἠθέτηκεν „πέφραδέ τε Τρώεσσι καὶ εὐχόμενος" Apoll. Soph. 165, 9, 10 et 11 conf. Bekk. Praef. Schol. in Hom. Iliad. pg. III. Lehrs. Arist. p. 93. — 505 σὺν: ἐν Zenodotus et Aristophanes, conf. Γ 159 ἐν νηυσὶ νεέσθω. ἰέναι σὺν νηί γ 323. κ 323. ω 152. ἐλθεῖν α 182. ι 373. Ε 641. (ἐν νηὶ β 263). ἱκέσθαι γ 61. βαίνειν Δ 181. ἀλάομαι γ 302. φεύγειν Β 74. 140. γ 165 πέμπειν Α. 183. 389.

πάπτηνεν δὲ ἕκαϲτοϲ, ὅπῃ φύγοι αἰπὺν ὄλεθρον.
ἔϲπετε νῦν μοι μοῦϲαι Ὀλύμπια δώματ᾽ ἔχουϲαι,
ὅϲ τιϲ δὴ πρῶτοϲ βροτόεντ᾽ ἀνδράγρι᾽ Ἀχαιῶν
ἤρατ᾽, ἐπεί ῥ᾽ ἔκλινε μάχην κλυτὸϲ ἐννοϲίγαιοϲ.
Αἴαϲ ῥα πρῶτοϲ Τελαμώνιοϲ Ὕρτιον οὖτα
Γυρτιάδην, Μυϲῶν ἡγήτορα καρτεροθύμων·
Φάλκην δ᾽ Ἀντίλοχοϲ καὶ Μέρμερον ἐξενάριξε·
Μηριόνηϲ δὲ Μόρυν τε καὶ Ἱπποτίωνα κατέκτα,
Τεῦκροϲ δὲ Προθόωνά τ᾽ ἐνήρατο καὶ Περιφήτην·
Ἀτρείδηϲ δ᾽ ἄρ᾽ ἔπειθ᾽ Ὑπερήνορα, ποιμένα λαῶν,
οὖτα κατὰ λαπάρην, διὰ δ᾽ ἔντερα χαλκὸϲ ἄφυϲϲε
δῃώϲαϲ· ψυχὴ δὲ κατ᾽ οὐταμένην ὠτειλὴν
ἔϲϲυτ᾽ ἐπειγομένη, τὸν δὲ ϲκότοϲ ὄϲϲε κάλυψε.
πλείϲτουϲ δ᾽ Αἴαϲ εἷλεν, Ὀιλῆοϲ ταχὺϲ υἱόϲ·
οὐ γάρ οἵ τιϲ ὁμοῖοϲ ἐπιϲπέϲθαι ποϲὶν ἦεν
ἀνδρῶν τρεϲϲάντων, ὅτε τε Ζεὺϲ ἐν φόβον ὄρϲῃ.

---

## ΙΛΙΑΔΟϹ Ο.

Αὐτὰρ ἐπεὶ διά τε ϲκόλοπαϲ καὶ τάφρον ἔβηϲαν
φεύγοντεϲ, πολλοὶ δὲ δάμεν Δαναῶν ὑπὸ χερϲίν,
οἳ μὲν δὴ παρ᾽ ὄχεϲφιν ἐρητύοντο μένοντεϲ,

---

V. L. 507 πάπτηνε H Flor. πάπτηινεν C. ὅπῃ A Schol. O 1. ὅποι EG ceteri ὅπη cum Cram. An. Ox. II, 337, 22. φύγει D. φύγῃ Cant. Lips. — 508 ἔϲπετε H. — 509 ἀνδράγρι᾽ A. — 510 ἤιρατ᾽ ACD. ἤρετο ἢ ἤρατο E. ἐπεί ῥ᾽: ἐπεί περ Mor. μάχηϲ S. κλειτὸϲ C. — 511 αἴαϲ μὲν C. ῥὰ GL. οὖτα Lips. Flor. — 512 καρτερόθυμον S. — 513 φάλκυν Vrat. A. φάλτην Barocc. Mor. conf. N 791. ἐξενάριξε AC. — 515 ἐνήιρατο ACD. περιφήτην: πολυφήτην? cf. N 791. — 516 ἆρ ADGHL. — 517 οὖτα κατὰ λαπάρην DG. οὔταϲε καλλαπάρην ACEHLS Lips. Rom. γρ. οὖτα κατὰ λαπάρην A, conf. 447. οὔταϲε Schol. P 24. δια CH. διὰ τ᾽ ἔντεα Mor. ἄφυϲϲε ACGHL. — 518 δηϊώϲαϲ H. — 519 ὄϲϲε κάλυψε DHL Cant. Townl. Vrat. d. ὄϲϲ᾽ ἐκάλυψε ACG. — 520 ἄνδραϲ εἷλεν Ὀϊλῆοϲ ταχὺϲ Αἴαϲ Schol. K 110. — 521 γάρ οἱ τὶϲ H. — 522 ἔμφοβον C. ὄρϲῃ L Cant. ὄρϲη S. ὤρϲῃ G Vrat. d. Flor. ὄρϲηι (ε) A. ὦρϲεν CDH. ὦρϲε E Lips. Townl. Rom.

---

A. c. 509 ἀθετοῦϲι διὰ τὸ ξένον τῆϲ λέξεωϲ (ἀνδράγρια) Schol. ABL.

---

V. L. 2 ὑπο A. — 3 οἳ μὲν C. παρόχεϲφιν D.